— 45. α. Ὦ πολλὰ μισηθεῖσα. ἐνταῦθα μὴ — ἦν αἰτία τῦ δεθῆναι τὸν Προμηθέα, ἀλλ' ἡ τῦ Διὸς προσταγὴ, φησὶ, τὴν — ἐ γὰρ ἐφ' αὕτη ἡ σὴ τέχνη — .

— 49. α. Ἅπαντ' ἐπράχθη. ἅπαντα, φησὶν, ἐτυπώθησαν καὶ ὡρίσθησαν καὶ ἐπράχθησαν ἀπὸ τῶν μοιρῶν πλὴν τῦ κοιρανεῖν τῶνδε· ἦγεν ἄρχειν αὐτῶν. ἢ τὸ πλὴν ἀντὶ τῦ ὁμῶς· καὶ ἐστὶν ὅτως· πάντα ὑπὸ τῶν μοιρῶν μὲν ὁρίζονται· ὁμῶς δὲ οἱ θεοὶ ἄρχουσι καὶ ὁρίζουσι τὴν τούτων ἔχειν πρᾶξιν. Ad vocem ἄρχουσι ad marginem addita sunt: Ἅπαντα, φησὶ, τοῖς θεοῖς πέπρακται καὶ τετέλεσται καὶ τέλειά εἰσι πλὴν τῆς κοιρανίας· αὕτη γὰρ ἄδηλος τοῖς θεοῖς πλὴν τῦ Διός· ἢ ὅτως, ὃ καὶ κρεῖττον· ἅπαντα τοῖς θεοῖς δέδοται τὰ καλὰ πλὴν καὶ χωρὶς τῦ ἄρχειν ἑαυτῦ καὶ μὴ ἔχειν τινὰ τὸν δεσπόζοντα· διὸ ἐπάγει, ὡς ἀδεὶς ἐλεύθερος εἰ μὴ Ζεύς.

— 50. Ἐλεύθερος γὰρ ὅτις ἐστὶ πλὴν Διός. ἐλεύθερος δέ, ἤτοι μὴ ἀγόμενος ὑπ' ἄλλε, ὅτις ἐστὶ χωρὶς τῦ Διός. Τοῦτο δὲ λέγεται, ὅτι καὶ οἱ λοιποὶ θεοὶ ἄρχουσι μέν, ἀλλ' ἄνευ τῆς Διὸς βελῆς οὐδεὶς δύναταί τι ποιῆσαι. Οἷς συγκατατιθέμενος καὶ ὁ Ἥφαιστός φησιν· ἔγνων, ὅτι ὅτως ἔχει τὰ τῶν θεῶν, καὶ οὐκ ἀντιλέγω· πρὸς ὃν τὸ Κράτος

Digitized by Google

φησί· ὃ ἀπεύδεις λοιπὸν δεσμῆσαι τὸν Προμηθέα, ἵνα μὴ πατὴρ ἴδῃ σὲ βραδύνοντα καὶ ἀμελοῦντα τῶν αὐτῷ πράξεων.

vs. 53. β. Ὡς μή σ' ἐλιννύοντα. ἀπὸ τῶ ἐλίσσω καὶ τῶ ἀνύω. εἰώθασι γὰρ οἱ μέλλοντες ἀνύσαί τι, ἀνασκοπεῖν πρῶτον καὶ οἷον ἐμβραδύνειν.

— 54. Ψάλια. ἐχλ ἥλοι, ἀλλ' ἕτερά τινα σιδήρια, εἶδος ἔχοντα τοιοῦτον, ὥστε ἁρμόσαι τῇ μασχάλῃ καὶ εἰς ἄλλο μέρος τῶ σώματος. λέγονται δὲ ψάλια κυρίως τὰ χαλινὰ τῶν ἵππων.

— 57. Περαίνεται δὲ κ' ὃ ματᾷ τὄργον τόδε. ἀρξάμενος δὲ δεσμεῖν τὸν Προμηθέα ὁ Ἥφαιστος φησι· ἰδὼ πράττεται τὸ προστεταγμένον καὶ ὐκ ἀναβάλλεταί μοι τόδε τὸ ἔργον, καὶ ἀσφαλῶς καὶ ὃ μάτην ἐργάζεταί μοι ἡ δέσις.

— 59. Δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρον. Δεινὸς ὢν εἰς τὸ νοῆσαι φαίνῃ καὶ παντοίας εὑρῆσαι μηχανάς· ἢ μηχανικὸς ὢν ὁ Προμηθεὺς, εἰ μὴ στερρῶς προσηλώθη, λύσεως μηχανὴν εὑρήσει.

— 60. Ἄραρεν ἥδε γ' ὠλένη δυσεκλύτως. ὁ Ἥφαιστος ὅτι φησὶ ἅτος ὁ σιδηρᾶς δεσμὸς ἀσφαλῶς ἡρμόσθη καὶ ἐνεπάγη. τὸ δὲ τῶ Διὸς Κράτος φησὶ πρὸς αὐτὸν, καὶ ταύτην τὴν σιδηρᾶν ὠλένην ἦγεν τὸν κρίκον (γρ. κίρκον. Illud Pollux dicit ποιητικόν I. 94. p. 65.) περόνησον ἀσφαλῶς· ἵνα δεινὸς ὢν εἰς τὸ νοῆσαι καὶ ἐφευρεῖν τέχνας, νοήσῃ καὶ μάθῃ ἐλάττων δὲ (l. καὶ) ἐπιδεέστερος ὢν τῶ Διός. εἶτα ὡσανεὶ βεβαιῶν ὁ Ἥφαιστος, ὅτι

Digitized by Google

ἀσφαλῶς αὐτὸν προσέδησε, φησὶ, πλὴν ἕνεκα τέτε ὠδεὶς ἂν μέμψαιτό μοι δικαίως, ὡς μὴ καλῶς αὐτὸν προσηλώσαντι.

vs. 61. Καὶ τήνδε νῦν πόρπασον ἀσφαλῶς. Πόρπαξ ὐχ ὁ ἧλος, ἀλλ' ἄλλο σίδηρον κατεσκευασμένον.

— 64. α. Ἀδαμαντίνε νῦν σφηνός. — ἤτοι ἔξοχὴν περόνην pro πετρίνην, et in fine περὶ τὲς τῆς καρδίας τόπες.

— 69. α. Δρᾷν ταῦτ' ἀνάγκη. ἀναγκαῖόν ἐστι — in fine τὸ δὲ, φησὶ πρὸς αὐτὸν, ὄκτως δὴ καὶ κελεύσω σοι τᾶτο καὶ σὺν τῷ κελεῦσαι κραυγάσω, ἐν βάθει τὸν κρίκον περόνησον.

— 76. α. Ἐῤῥωμένως νῦν θεῖνε. τᾷ Ἡφαίστε εἰπόντος, ὅτι καλῶς ἤδη πέπρακται τὸ ἔργον ἅπαν καὶ ὁ Προμηθεὺς — ἀρκύντως τῷ βάθει τὲς κίρκες ἐνέβαλες —.

— 77. α. Ὡς ὀπιτιμητής γε. καλῶς, φησὶ, — ἢ ὁ ζημιωτὴς καὶ ὁ εὐθυνητής (εὐθυντής). ταῦτα δὲ λέγοντος — φησὶ πρὸς αὐτὸν ὁ Ἥφαιστος ἀγρίε πεποιημένε (γρ. καὶ εὐτραπέλε) — ἀναιδᾶς, ὅτι ἁρμόζει τῇ μορφῇ σε καὶ προσήκοντα ταύτῃ τυγχάνει τὰ τραχέα ῥήματά σε — σὺ γίνε μαλθακὸς καὶ χαῦνος· ἐμὲ δὲ ἕνεκα — μὴ ἐπονείδιζε, qua voce scholion finitur.

— 81. β. Στείχωμεν, ὡς κώλοισιν ἀμφίβληστρ' ἔχει. ὑποχωρῶμεν, συμβουλευτικὸν, ἐπεὶ ποσὶ καὶ χερσὶ τὰ δεσμὰ ἔχει, τετέστιν ἅπαν τὸ σῶμα προσήλωται, ἀναχωρῆσαι χρεία.

Digitized by Google

vs. 82. *Ἐνταῦθα νῦν ὕβριζε· καὶ καταφρόνει τῆ Διὸς καὶ κλέπτων* sine *ἐνταῦθα — τοῖς ἀνθρώποις. τί* (pro *πῶς*) *δύνανταί σε οἱ ἄνθρωποι ἐλευθερῶσαι τῆ δεσμῆ τῆδε* (suprascr. *τῶν δεσμῶν τῶνδε*) — *ποίῳ τρόπῳ ἐλευθερωθήσῃ τούτων τῶν δεσμῶν — ὄνομα, ἀκ ἐνόησε* pro *προενόησε* —.

— 85. *Ψευδωνύμως. πᾶν εὐφυῶς ἐτυμολογεῖται τὸ τῆ Προμηθέως ὄνομα. Προμηθεὺς γὰρ ὁ προορῶν τὰ μήδεα καὶ τὰ βουλεύματα· καὶ τροπὴ τῆ δ εἰς τὸ θ.*

— 86. *Καλῶσιν· αὐτὸν γάρ σε δεῖ Προμ.* Schol. *β. Χρεία γάρ σοι ἀνθρώπῳ συμβουλευομένῳ, τίνι τρόπῳ ἐκβληθῇς.*

— 88. *α. Ὦ δῖος αἰθήρ.*
Ἁρμοζόντως — μὴ εὐθὺς — προμαρτύρεται τὸν αἰθέρα — καὶ τὸν ἥλιον, τὰν θερμὴν φύσιν — καὶ ἐγὼ θεὸς ὢν τάχα· ἀλλάσσει δὲ αὖθις pro *εὐθὺς — ἐπ' ἐμοὶ ὁ νέος ἡγεμὼν τῶν θεῶν —.*

— 98. *Αἰ αἰ* habet Stanlej. sed fuit *φεῦ, φεῦ.* Scholiast. habet *φεῦ, φεῦ, στενάζω.*

— 85. *α. Τέχνης.* Huetius correxit *τύχης.*

— 83. *Συλῶν, ἐφημέροισι προστίθει.* (*ἐφήμεροι*) *κυρίως λέγονται οἱ κώνωπες, οἵτινες ὄντες ἔσωθεν τῆ πίθῳ ζῶσιν. ἀποσκεπάσαντας δὲ τὸν πίθον καὶ ἰδόντας αὐτὲς τὸ φῶς* (?). *ἐκέτι ζῶσιν. ἐξ αὐτῶν δὲ ἐκλήθησαν καὶ οἱ ἄνθρωποι.*

Digitized by Google

vs. 88. Ὦ δῖος αἰθὴρ καὶ ταχύπτεροι πνοαί. οἱ ἄνεμοι κατὰ μὲν Ἀναξαγόραν ἐκ τῆς γῆς γίνονται· καθ' Ὅμηρον δὲ πρὸς Διὸς ἐκ νεφελάων. ἀλλ' ὁ μὲν Ἀναξαγόρας τὸ ὑλικὸν φησι αἴτιον τῶν ἀνέμων· Ὅμηρος δὲ ποιητικόν· μᾶλλον δὲ ἀμφότεροι, τό τε ὑλικὸν καὶ τὸ ποιητικόν. ἐκ μὲν γὰρ τῶ λέγειν ἐνιαχῶ τὰς ἀνέμους ἰκμὰς, ἤτοι ἰκμάδεις καὶ καθύγρους, τὸ ὑλικὸν αὐτῶν αἴτιον λέγειν (λέγει?) τὴν ἰκμάδα καὶ δρόσον· ἐκ δὲ τῶ λέγειν αὐτὰς ὁρμᾶν πρὸς Διὸς ἐκ νεφελάων, τὸ ποιητικόν φησι αἴτιον. ἰκμὰς γὰρ λεπτυνθεῖσα ἀὴρ γίνεται· ἀὴρ δὲ ἔτι ἀναχθεὶς καὶ λεπτυνθεὶς, πνεῦμα.

— 90. Ἀνήριθμον γέλασμα.

Schol. α. καλῶς εἶπε — ὥσπερ γὰρ ἐκεῖσε διαχέονται καὶ εὐρύνονται εὐρύτητα ποιοῦντες τῶν σωμάτων αὐτῶν — αἵματος καὶ συστελλομένου — .

Γελᾷ γαλὴν ἡ θάλασσα (f. γαληνὴ θάλασσα aut γαληνὴ ἡ θάλασσα). ἐγέλασε τὸ ἔαρ.

— 100. Χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι.

ἀντὶ τοῦ — ἐκ Τροίας ἀπετείλατο Παλλὰς Ἀθήνη ἀντὶ τοῦ ἀπετέλεσε.

— 101. α. Καίτοι τί φημι;

ἀποδυρόμενος ὁ Προμηθεὺς καὶ ὡσανεὶ — ἐρωτᾷ, πότε ἥξει αὐτῷ ἐλευθερία — τὰ μέλλοντα δέ μοι νεωστὶ συμβήσεσθαι ὀδ. βλάβην κοιμίσουσί μοι perperam. Addit: χρὴ δὲ ἑκάστῳ ὑπομένειν τὴν λαχοῦσαν αὐτῷ τύχην καὶ μοῖραν ὥσπερ κἀμοί· ὑπομένω δὲ ὡς λίαν γινώσκων τὸ τῆς ἀνάγ-

Digitized by Google

κης σθένος (γράφεται, ὅτι τὸ τῆς ἀνάγκης σθένος, ἦγεν ἡ δύναμις τῆς εἱμαρμένης ἀ καταμάχητός ἐστι καὶ ἀήττητος) ἦγεν τὴν δύναμιν τῆς εἱμαρμένης καὶ ἀκαταμάχητον ἔσαν καὶ ἀήττητον. ἀλλ' ὃ μὲν ἔτε σιγᾷν δύναμαι τὰς τύχας· ἀλγῶ γάρ· ἔτε μὴ σιγᾷν, ἤτοι λαλεῖν· εὐλαβοῦμαι γὰρ τὸν Δία· ἐγὼ γὰρ παρασχὼν τοῖς ἀνθρώποις τιμὴν, τὴν διὰ τοῦ πυρὸς λέγω, ἐνεπάγην ταύταις ταῖς συμφοραῖς, θηρῶμαι δὲ καὶ σφετερίζομαι καὶ παρέχω τοῖς ἀνθρώποις πηγὴν πυρὸς κλοπαίαν τῷ νάρθηκι, ἢ ἔσω νάρθηκος αὐτὴν βαλών.

vs. 103. Σκεθρῶς τὰ μέλλοντ', ἀδέ μοι ποταίνιον. Ποταίνιον· τὸ ἀπροόρατον, ἀπὸ τοῦ πρὸ (πρὸς) προθέσεως καὶ τοῦ αἶνος, ὁ λόγος· ἦγεν τὸ μὴ γενόμενον εἰς ἐμὲ καὶ δεύτερον καὶ ἄλλο· διότι ἐγὼ προγινώσκω τὰ πάντα.

— 106. Ἀλλ' ἔτε σιγᾷν, ἔτε μὴ σιγᾷν τύχας. Ἀλλ' ἀ δύναμαι ταύτην τὴν τύχην σιγᾷν· ἐὰν γὰρ ταύτην σιγήσω, λύπην τῇ ψυχῇ μα φέρω· ἀ τοσοῦτον γάρ τις λυπεῖται, εἰ καὶ ἐν θλίψεσίν ἐστιν, ὅσον χαίρει, ὅταν ἔκθηλα ποιῇ καὶ πρὸς ἑτέρους λέγει τὰ λυπάντα αὐτόν. ἢ (ἦν aut ἐὰν?) δὲ μὴ σιγήσω· ἤτοι ἐὰν λαλήσω καὶ εἴπω τὰ λυπάντά με, τὸν Δία παροτρύνω εἰς ὀργὴν ἐμήν.

— 110. β. Πηγὴν κλοπαίαν, ἢ διδάσκαλος τέχνης.

Πηγὴν δὲ πυρὸς εἶπεν, ὅτι πᾶσα ὑσία μείωσιν δέχεται, τὸ δὲ πῦρ, κἂν τὸ τυχὸν εὑρεθῇ, ἤτοι σμ. σπινθὴρ ὑποτεθῇ δὲ ὕλῃ τινὶ, (sane vulgato ὅλῃ τῇ βίᾳ melius) πάλιν αὐξεται. (Πάλιν,

Digitized by Google

quod in impressis ad sequentia tractum est, noster recte cum prioribus conjunxit.) *διὰ τοῦτο δὲ εἶπε πηγὴν πυρὸς, ὅτι ἐκ τοῦ μικροῦ αὔξεται. Λέγουσι, τὸν Προμηθέα κεκλοφέναι ἀπὸ τοῦ Διὸς τὸ πῦρ, βαλεῖν τε νάρθηκι, τὸ τοῖς ἀνθρώποις καταγαγεῖν. Τοῦτο δὲ μυθῶδες· τὸ δ' ἀληθὲς ὅτως ἔχει· πῦρ καλεῖται ἡ γνῶσις διὰ τὸ δραστήριον· Προμηθεὺς δὲ καλεῖται ἡ προμήθεια καὶ ἡ πρόγνωσις καὶ ἡ πρωτόπλασις, ἣν δέδωκεν ὁ θεὸς τῷ ἀνθρώπῳ ἔχειν καὶ φυλάττειν καὶ μή τινος φροντίζειν· ὁ δὲ ταύτην λαβὼν οὐκ ἐφύλαξεν, ἀλλ' ἤρξατο φροντίζειν καὶ προβουλεύεσθαι καὶ οἷον κλέπτειν τὴν τοιαύτην προμήθειαν. ὅτι δὴ νάρθηκι ἔβαλε τὸ πῦρ, καὶ αὐτὸ προσφόρως· ἀπὸ γὰρ τῆς οἰκείας σαθρότητος τοῦ νοὸς ἤρξατο φροντίζειν καὶ προλέγειν τὰ μὴ δέοντα.*

vs. 115. *α. Τίς ἀχὼ, τίς ὀδμὰ προσέπτα μ' ἀφ. ἴσως αἱ Ὠ. — διὰ τῆς ὀδμῆς δὲ προνοεῖν τὴν τῶν Ὠκεανίδων ἄφιξιν.*

— 117. *Ἵκετο τερμόνιον ἐπὶ πάγον. ἐπὶ τὸ τελευταῖον μέρος τῆς γῆς ἦλθε — προσδέδεμαι. Ἐπὶ τέλει τοῦ Ὠκεανοῦ ὁ Καύκασος. Πάγος δὲ παρὰ τὸ πήσσεσθαι ἐν αὐτῷ τὰ ὕδατα, ἢ διὰ τὸ τὰς πηγὰς ἐξ ἄκρων ὀρέων κατέρχεσθαι.*

— 122. *Εἰσοιχνεῦσιν. ἀπὸ τοῦ οἴχω, οἰχνῶ, ὥσπερ ἵκω, ἱκνῶ.*

— 124. *α. Φεῦ φεῦ. πλησιέστερον — καὶ τῆς ἠχῆς αὐτῶν αἰσθάνεται* (suprascr. *αὐτὸς αἰσθάνεται*) *— συρίζει — ἐν εὐδιαναῖς πνοαῖς πτερύγων — προσέβη γὰρ ἐνταῦθα πληθὺς φίλη — διάνοιαν.*

Digitized by Google

vs. 128. α. *Μηδὲν φοβηθῇς. ὁ ῥυθμὸς — φιλία γὰρ ἥδε· αὕτη ἡ φάλαγξ ἡ σύστοιχος — τῷ ἐφ' ὕψους κρεμαμένῳ· προσλαλεῖ ὁ Προμηθεὺς κατίασιν αὐτὸς ἐπὶ τῆς γῆς.*

— 132. α. *Κραιπνοφόροι δέ μ' ἔπεμψαν αὖραι. ἐκόμισαν — ὁ κτύπος τῶ Χαλυβικῶ σιδήρω ἀφίκετο.*

— 133. β. *Χάλυψ. ἔθνος, ἔνθα ὁ σίδηρος ἐγένετο. ὅταν δὲ προσεκαρφῶτο — ἠκόνητο ἐκεῖ.*

— 134. α. *Θεμερῶπιν. γράφεται — τῷ προσώπῳ μου, ἤτοι — ἣν ἐκ ἔξεστιν — διὰ τοῦ προσώπου ταύτης ἐξέρχεται· ἡ δὲ γαμηθεῖσα ἐκείνη χλωριάσασα (γράφεται χλωρίζουσα) — αἵματος αὐτῆς καὶ τροφούσης* pro *τρέφοντος*, quod suprascriptum.

Ἀποσείσασθαι δέ με καὶ ἀποῤῥίψαι τὴν πολλὴν θερμὴν αἰδῶ, ἦγεν τὴν καλλίστην τὴν ἐξ ἀναδόσεως αἵματος — ἀνέπεισε (γράφεται πεποίηκε).

— 134. α. *Ἄξωτοι.* Huet. *ἄζωτοι.*

— 135. β. *Σύθην δὲ ἀπέδιλος ὄχῳ πτερωτῷ. ἦγεν δι' ἀέρος πτήσει. διὰ τοῦτο δὲ δηλοῖ, ὅτι σπουδαίως παρεγένοντο, ὥστε οὐδὲ τὰ οἰκεῖα — βαλεῖν.*

— 136. β. *Αἴ αἴ. Ἐπιῤῥήματα θρηνητικὰ περισπῶνται πλὴν τοῦ βαβαὶ καὶ εὐαὶ* (an *οὐαί*). Caetera desiderantur. *Τὸ δὲ αἴ ἀντὶ τοῦ ἄνποτε, ἐξ οὗ καὶ τὸ αἴθε ὡς εὐκτικόν.*

Digitized by Google

Ὁ ξυνετός, quod proxime sequitur, quo referendum sit, nescio, nisi vox *πολύτεχνος* temere pro *πολύτεκνος* posita explicetur.

Γράφεται αἴ καὶ φεῦ. Ὦ τέκνα τῆς πολυγόνου Τηθύος, ἦγον τῆς Γῆς, καὶ τοῦ περικυκλοῦντος Ὠκεανοῦ πᾶσαν τὴν γῆν ἐν πολυκοιμήτῳ ῥεύματι ἤτοι πολυησύχῳ· τὸ γὰρ α κατ' ἐπίτασιν κεῖται.

vs. 139. *α. Ἀκοιμήτῳ. ἀκαταπαύστῳ ἢ πολυησύχῳ, ἵν' ἤτοι τὸ ᾱ κατ' ἐπίτασιν* sine *κεῖται. εἰ γὰρ ἦν — ἀναπεπταμένην.* Addit *ἄλλως τε (γε?) οὐδὲ ἔπαινος τὸ τοιοῦτον, ἀλλὰ ψόγος· ὑδάτων δὲ ἄρεται — ῥεύσεως.*

— 140. *Πατρὸς Ὠκεανοῦ.*

Ὠκεανὸς τοῦ Οὐρανοῦ καὶ Γῆς υἱὸς ὁ πρῶτος, γήμας Τηθὺν τὴν ἀδελφὴν, τάδε γεννᾷ τὰ τέκνα· τοὺς ποταμοὺς καὶ τὰς πηγὰς τὰς ὕσας ἐν τῷ κόσμῳ· ὧν καὶ Πλουτὼ καὶ Περσηΐς καὶ Μῆτις καὶ Ἀσία καὶ Στὺξ ὁμοῦ καὶ Καλυψώ. τὰς δ' ἄλλας ἐατέον.

— 141. *Ἑσίδεσθ', οἵῳ δεσμῷ προσπορπατός. ἴδετέ με, οἵῳ προσηλωμένος δεσμῷ τῆς ἐξοχῆς ταύτης τοῦ ὄρους κακὴν τήρησιν βαστάσω.*

— 143. *β. Ὀχήσω.* Huet. Scholiastes legit *οἰκήσω.*

— 144. *α. Λεύσσω Προμηθεῦ. βλέπω — — ταῖς τοῦ δεσμοῦ σιδηραῖς βλάβαις — οἰκονόμοι δὲ λέγονται κυρίως οἱ κυβερνῆται —.*

Φοβερὰ δ' ἐμοῖσιν ὄσσοις·

Φοβερά· φόβου ἄξια· ἢ στικτέον εἰς τὸ φοβερὰ, ἵν' ᾖ ἡ σύνταξις οὕτως: ὦ Προμηθεῦ, λεύσσω καὶ

Digitized by Google

βλέπω; ἃ πάσχεις, δηλονότι φοβερὰ καὶ ἄξια φόβου.

Τόδε δὲ ἀντὶ τοῦ γάρ· ἵν' ᾖ τὸ ἑξῆς ἅτως· εἰσῆλθε γὰρ τοῖς ἐμοῖς ὀφθαλμοῖς νεφέλη, πλήρης δακρύων.

vs. 151. Πελώρια. λέγει τοὺς Γίγαντας — οἱ Γίγαντες pro Τιτᾶνες — ἐλθὼν ἕν pro δὲ — ἐβασίλευσε. Ἐτυμολογεῖται δὲ πελώριος ἀπὸ τοῦ πέλω — φροντίς· τῶν γὰρ μεγάλων πάντες φροντίζουσιν· ἢ ἀπὸ τοῦ πέλας ἤγουν ἐγγὺς εἶναι τοῦ Ὡρίωνος.

— 157. Αἰθέριον κίνυγμα. τὸ κίνημα. καὶ ἔστι πρωτότυπον τὸ κινῶ· ἐξ οὗ κινύω καὶ κίνυμι· τὸ δὲ κίνυμα ποιὰ φωνὴ ἐν τῷ ἀέρι μετὰ ῥαβδοῦ γενομένη· ᾗ χρῆσις ἐν τῷ· κεκίνυντο φάλαγγες, καὶ κ . . ρυμος ὃ ἐστὶ κατὰ νᾶν. Reliqua partim sunt lectu difficillima, partim manu ligatoris detruncata. Ἐκ δὲ τοῦ κινύω παράγεται τὸ κινύσσω, ἀφ' οὗ καὶ κίνυγμα τὸ αἰθέριον (γράφεται ἀέριον) εἴδωλον, κατὰ τὸ αἰθύσσω, αἴθυγμα· πτύσσω, πτύγμα· νύσσω, νύγμα· ἐξ οὗ καὶ ἡ νυγμή· ὡς πτύγμα, πτυγμὴ καὶ ἀποβολὴ τοῦ τ πυγμὴ, καὶ ξύσμα, ξυσμή.

— 159. Τίς ὧδε τλησικάρδιος. ὁ χορός φησι πρὸς τὸν Προμηθέα· τίς ἀπὸ τῶν θεῶν ἅτως ὑπάρχει λιθοκάρδιος· ᾧτινι ἐπιχαρῆ ἤγουν πρόξενα χαρᾶς ὑπάρχουσι ταῦτα, ἃ πάσχεις· τίς ὁ συμπάσχει καὶ συναλγεῖ τοῖς σοῖς κακοῖς χωρὶς μόνου τοῦ Διός· ἅτος γὰρ θέμενος καὶ οἱονεὶ σχὼν ἀπαμπῆ ψυχὴν ἐπικότως καὶ ὀργίλως δάμναται καὶ δαμάζει τὴν Οὐρανοῦ γένναν ἤγουν τὸ γένος τῶν θεῶν· οὐδὲ παυ-

Digitized by Google

θήσεται τῶ τυραννεῖν ἥγων ὁ λάβῃ κόρον τῆς τυραννίδος καὶ ἐπιθέσεως, ἢ ἐν δυνάμει ἰσχυρᾷ ἀφέληταί τις τὴν ἀρχὴν καὶ τὴν βασιλείαν αὐτῶ τὴν δυσάλωτον καὶ δυσκόλως ἀφαιρεθησομένην διὰ τὸ ἀνδρεῖον αὐτῶ.

vs. 167. α. *Ἦ μὴν ἔτ' ἐμῶ, καίπερ κρατεραῖς. ὄντως δὴ ἀκμὴν ἐμῶ χρείαν ἕξει — ἥγων δεσμῶν ἐν ἰσχυραῖς — ἕξει δὴ χρείαν ἐμῶ — ἀποσυλήσοντα τὴν βασιλείαν αὐτῶ ἢ τὴν ἀρχὴν — εἰπόντος αὐτῷ, ὅτι ὁ μέλλων γεννηθῆναι — φησὶν ἂν ὁ Προμηθεὺς, ἕξει* (omisso *ὅτι*) *πολλὴν χρείαν ἐμῶ* (sine *ποτὲ*) *— δεῖξαι αὐτῷ τὸν ὑφ' ὃ ἀφαιρεθήσεται — πραέσι καὶ γλυκέσι ῥήμασι — ἀπατήσει· ὅτε ἂν δι' ἀπειλῶν — βεβληθῇ τε δῦναι ἐμοὶ ποινὰς καὶ αὐτο* (reliqua abscissa sunt, forte *αὐτὸς* aut *ἀντέκτισιν*) *καὶ ἀμοιβὰς καὶ ἀνταποδόσεις ταύτης τῆς τιμωρίας, — με.*

— 178. α. *Σὺ μὲν τραχύς τε καὶ πικραῖς.*

γράφεται θρασύς τε.

Σὺ μὲν ὦ θρασὺ, εὔτολμος — καὶ λογίζομαι ποῖ ποτε παύσασθαί σε τούτων. ἀπόκειται δὲ ἰδεῖν τὸ τέρμα αὐτῶν ἐλλιμενισθέντα ἐν τούτῳ· ἥγων τί δεῖ τέρμα καὶ τέλος ἰδεῖν σε τῶνδε τῶν πόνων. — ἀντὶ τῶ παυσάμενον· ἐκ μεταφορᾶς τῶν προσορμιζόντων νηῶν.

— 184. *Τέρμα κέλσαντ' ἰδεῖν.*

Κέλσαι κυρίως τὸ τὴν ναῦν προσορμίσαι τινὶ εὐγαλήνῳ καὶ εὐλιμένῳ τόπῳ.

— 185. α. *Ἥθεα, καὶ κέαρ ἀπαράμυθον*

Digitized by Google

ἔχει Κρόνος παῖς. Οὐ μύθῳ παραγόμενον καὶ πειθόμενον ἑτέρῳ τινί.

vs. 186. Ἀλλὰ πᾶν τὸ ἀρέσκον αὐτῷ δικαίως οἰόμενον ποιεῖν. Forte αὐτῷ οἰόμενος legendum vel οἰόμενον ad κέαρ referendum.

— — α. Οἶδ' ὅτι τραχύς τε καὶ παρ' ἑαυτῷ. οἶδα, φησὶν ὁ Προμηθεύς, ὅτι ἀμείλικτός ἐστιν — δίκαιον νομίζει (εἶναι omisso) — ὅταν τὸν τρόπον ῥαισθῇ καὶ κρατηθῇ (γράφεται ῥωσθῇ καὶ κρατυνθῇ) τὰ ἐπιέναι μέλλοντα (γράφεται ἐπιέναι) αὐτῷ. τὴν δὲ σκληρὰν καὶ — ὀργὴν καταπραΰνας ἥξει καὶ συνέλθῃ ἐμοὶ εἰς φιλίαν — ἀναγκαζόμενος. Quod vulgato arctius conjunctum.

— 188. α. Ἔσται ποθ', ὅταν ταύτῃ ῥαισθῇ. ὅταν ἕτω τυφθῇ ὑπὸ τῆ ἀναγκαίᾳ, ὥσπερ ὑπὸ ῥαιστῆρος, μαλακογνώμων ἔσται. εἴρηται δὲ ἐκ μεταφορᾶς τῆ σιδήρᾳ.

Γράφεται ῥεχθῇ, ἤγουν ὅταν πραχθῶσι τὰ πράγματα ἕτως ὡς λέγω.

Ῥαισθῇ κανόνισον· ῥαΐζω τὸ φθείρω, ὁ μέλλων ῥαίσω etc. (idem quod ῥαίω. cf. Hesych. ῥαΐει.)

Γράφεται ῥεχθῇ, τυπωθῇ, ἑδραιωθῇ.

— 193. α. Πάντ' ἐκκάλυψον καὶ γέγωνε ἡμῖν λόγον. ἐκκάλυψον — καὶ τῇ φανερώσει — βουλόμενος γὰρ ὁ ποιητὴς — προεποιήσατο ἐρωτώσας —.

— 197. α. Ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε. ἄλγους μὲν αἴτια γενήσονταί μοι ταῦτα διηγουμένῳ, λύπη δὲ πάλιν — εἰ γάρ τις ἐκκαλύψει πρός τινα — πανταχόθεν δέ μοι δυστυχία ἐπῆλθε.

Digitized by Google

vs. 199. α. *Ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου. ἐπεί, φησίν, — ἐγένετο, τοῖς μὲν — εἶχον· ἀπὸ τούτων δὲ ἄρχεται τῆς διηγήσεως· προλέγει δὲ τινὰς — ἀποδείξῃ.*

— 206. *Αἱμύλος δὲ μηχανάς.*

Αἱμύλος λέγεται ὁ δι' ὑποκρίσεως αἵματος ἦγεν συγγενείας ἀπατῶν τινα· ἔτος δὲ λέγεται παρὰ Χατίνυς (Λατίνυς) πέλαξ. (κόλαξ legendum esse, nihil dubito.)

Αἱμύλον κυρίως ἐπὶ τῆς γυναικὸς τῆς δυναμένης ἀπὸ τοῦ ἐρυθήματος ἀπατῆσαι. ἐνταῦθα καὶ αἱμύλας ἐκάλεσε τὰς φρονίμους.

— 209. α. *Ἐμοὶ δὲ μήτηρ οὐχ ἅπαξ μόνον Θέμις.*

Ἐμοί, φησὶν ὁ Προμηθεὺς — μόνον Θέμις (sine *ἀλλὰ καὶ Γαῖα*) — *εἰ καὶ ἡ ἐμὴ μήτηρ* (scr. *ἐὰν δὲ ἡ ἐμὴ μήτηρ*) *καὶ Θέμις καὶ Γαῖα λέγεται, ἀ καινόν· καὶ γὰρ μίαν μορφὴν ἔχουσιν οἱ θεοί, πολλοῖς δ. ὀ. καταμερίζονται. ἐμοὶ δὲ προεῖπε τὸ μέλλον ἡ μήτηρ ὥσπερ γενήσεται ἡ ἀ καθόλου Θέμις* (suprascr. *μόνον*) *λεγομένη — κατὰ Ἀττικὺς* (cetera sunt amputata, forte fuit lectio vulgata *κατὰ Ἀττικὴν συνήθειαν*) *ἀλλὰ καὶ Γῆ· ἡ τῶν πολλῶν ὀνομάτων μίᾳ μορφῇ· λέγεται γὰρ ἀ μόνον Θέμις καὶ Γαῖα, ἀλλὰ καὶ ζείδωρος καὶ βότειρα καὶ βωτιάνειρα.*

— 214. α. *Τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου.*

Τοιαῦτ' ἐμοῦ λέγοντος, οὐδὲ ἄξιον ἔκριναν προσβλέψαι μοι (με). κρεῖττον δέ μοι τῶν παρόντων

Digitized by Google

τότε ἐδόκει τὸ προσλαβεῖν τὴν μητέρα καὶ συμπαρίστασθαι καὶ βοηθεῖν τῷ Διὶ ἐμοὶ θέλοντι καὶ ἐκείνῳ.

vs. 219. α. Ἐμαῖς δὲ βλαῖς. διὰ τῶν ἐμῶν — ὁ σκοτεινότατος τὸν ἀρχαιότατον Κρόνον σὺν τοῖς συμμάχοις αὐτῷ Τιτᾶσι. τοιαῦτα δὲ ὠφεληθεὶς ὁ τῶν θεῶν τύραννος ὑπ' ἐμοῦ, ἠμείψατό μ' (με) ταῖσδε ταῖς κακαῖς ποιναῖς.

— 226. α. Ὃ δ' ἔν ἐρωτᾷ, αἰτίαν καθ' ἥντινα. ὅπερ δὲ — κατ' ἐρώτησιν ἑρμηνευτέον, ἐρωτᾷτέ με (πρὸς τὰς Ὠ. φησὶ) καθ' ἣν αἰτίαν, τοῦτ' ἐστὶ δι' ὃν τρόπον ὅδε καὶ ἕτος (an ὧδε καὶ ἕτως?) ὁ Ζεὺς τιμωρεῖ με — .

— 228. Ὅπως τάχιστα τὸν πατρῷον ἐς θρόνον. ἀντὶ τοῦ παραυτίκα, ἡνίκα ἐνιδρύνθη τῷ θρόνῳ τοῦ οἰκείου πατρὸς Κρόνου ἦγεν (quae ad marginem adscripta erant, amputavit eadem illa manus impia et barbara. Procul dubio erant impressa ἐδράξατο ὁ Ζεὺς τῆς τοῦ πατρὸς αὐτοῦ Κρόνου ἐξουσίας) αὐτὸν τῆς βασιλείας ἐξελῶν, τηνικαῦτα μερίζει καὶ διανέμει — ἡδραίου τὴν ἀρχὴν (γράφεται τὴν ἑαυτοῦ βασιλείαν) ἢ διεστοιχίζετο ἀντὶ τοῦ διεμέριζε καὶ ἔνεμε τὰς τάξεις τῆς ἀρχῆς, ἢ τὸ ὅπως ἀντὶ τοῦ ἐπειδή.

— 231. α. Ἀρχήν· βροτῶν δὲ τῶν παλαιπώρων λόγον. Μισοπονήρως — ἀλλ' ἤθελε — ἐκ ἄλλός τις ἀνθίστατο — ἐγὼ δὲ ὁ τόλμης καὶ ὁ τολμηρὸς, ὁ ἐν τόλμαις τολμηρότερος ἐλυτρωσάμην καὶ ἐξέβαλον τοὺς ἀνθρώπους — βροτοὺς γὰρ οἰκτισάμενος (sine καί).

Digitized by Google

vs. 241. Ὦδ' ἐῤῥύθμισμαι. Ἡ δὲ μεταφορὰ τῶ ῥυθμίζειν ἀπὸ τῶν χορδῶν.

— 248. Θνητούς τ' ἔπαυσα μὴ προδέρκεσθαι μόρον. παρεμφαίνει καὶ ἑτέραν εὐεργεσίαν ἀφανῆ οὖσαν· οἱ γὰρ ἄνθρωποι πρώην τὸν μόρον καθ' ἑκάστην (sc. ἡμέραν) ἐλπίζοντες ὑδόλως εἰργάζοντο· εἶτα λαβόντες ἀπὸ τῦ Προμηθέως ἐλπίδας κενὰς, ἦγων τυφλωθέντες, ἦν περὶ εἶχον ἐλπίδα θανάτυ, ὥστε μὴ προβλέπειν αὐτὸν, δι' ὅλυ εἰργάζοντο, ἔχοντες καὶ τὸ πῦρ. Πρότερον, φησὶν, — θάνατον πρὶν, ἐκ ἐξήρχοντο ἐργάζεσθαι φοβύμενοι, μὴ τηνικαῦτα ἐπέλθῃ τούτοις ὁ θάνατος — ὁ θάνατος ἐπελθεῖν. εἰς ἔργα παρώτρυνα, γράφεται παρώξυνα.

— 250. Τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα. ἵνα τυχὸν ἐλπίζωσι, ὅτι σήμερον μέλλομεν ἀποθανεῖν ἢ ἄλλό τι παθεῖν ἢ αὔριον ἢ μετὰ πολὺ ἢ ἄ.

— 247. α. Μή πυ τι πρᾶβης. ἐπεὶ προηγήσατο — ὅτι (γράφεται διότι) ἀντέλεγον — διὰ τῦτο με ἐτιμωρήσατο — μὴ γὰρ ἕτερόν τι εἰς αὐτὸν ἥμαρτες ἁμάρτημα — .

— 252. Πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὦπασα. καὶ ἔτι ἐγὼ — ἀφ' ἅ γε (suprascr. ἀφ' ἅπερ) πολλὰς ἐκμαθήσονται τέχνας, προσυπαχθομένυ τέχνας.

— 255. Τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν.

Ἐρωτᾷ ὁ χορὸς τὸν Προμηθέα οἰκτείρων αὐτὸν, ὡς ἐπὶ ὠδαμινοῖς πταίσμασιν τιμωρύμενον·

Digitized by Google

ὅτι ἐπὶ τοιούτοις ἁμαρτήμασι τιμωρεῖταί σε ὁ Ζεὺς καὶ ὁ παύσεται τῆς ὀργῆς; ὡδ' ἐστὶ τέλος τῷ δεσμῷ σοι προκείμενον; ὁ δὲ Προμηθεὺς ἀνταποκρίνεται πρὸς τὸν χορὸν καί φησι· ὅτι ὐδὲν ἄλλο μοι τέρμα τῆς δέσεως καὶ τῆς κακοπαθείας ταύτης πρόκειται, ἢ ὅπερ δόξει ἄριστον ἐκείνῳ. Εἶτα πάλιν ὁ χορὸς πρὸς τὸν Προμηθέα λέγει· πῶς δὲ δόξει τῷ Διὶ ἀπολῦσαί σε τῷ δεσμῷ; τίς ἡ περὶ τοῦτο ἐλπίς; ὁ νοεῖς, ὅτι ἥμαρτες; ὅτι δὲ ἥμαρτες, ἵτε ἐμοὶ ἀποδεκτὸν λέγειν πρός σε, ἵνα μὴ δόξω ὀνειδίζων σε (ὀνειδίζειν suprascr.) *σοί τε λυπηρὸν δὲ τοῦτο· ἐλευθερίαν δὲ ζήτει τῷ δεσμῷ καὶ τῆς κακοπαθείας ταύτης, ἧς ἔχεις.*

vs. 260. *Οὔτ' ἐμοὶ λέγειν καθ' ἡδονήν. λύπης γὰρ εἰσὶ ταῦτα αἴτια ἐμοί· σοὶ δὲ ἀκούοντι πλῆστον (πλεῖστον) ἄλγος γενήσεται.*

— 263. *Ἐλαφρὸν, ὅστις πημάτων ἔξω πόδα. ὡς δῆθεν παραινῶν ἔφη πρὸς τὸν Προμηθέα· τἆλλα λιπὼν ζήτει τῶν δεσμῶν ἀπαλλαγήν· φησὶ ὁ Προμηθεύς· παντὶ τῷ ἔξω τῶν κακῶν ὄντι καὶ μὴ ἐμπεσόντι εἰς βλάβας, δυνατόν ἐστι τοὺς κακῶς πάσχοντας νουθετεῖν.*

— 268. *α. Οὐ μὴν τι ποιναῖς γ' ᾠόμην τοίαισί με. ὅτι μέν, φησὶν, — τοιαύταις τιμωρίαις τιμωρηθῆναί με — καὶ ἀπαιρομέναις τῆς γῆς ἦγεν ὑψηλαῖς —.*

— 270. *Ἀγείτονος πάγος. τῷ κακογείτονος ἢ τῷ ἐρημικῷ, τῷ μὴ ἔχοντος γείτονα, ἐν ᾧ τις ὁ γειτνιάζει ἦγεν προσεγγίζει.*

Digitized by Google

vs. 272. *Πεδοῖ δὲ βᾶσαι τὰς προσερπύσας τύχας. Πεδοῖ· ἐπειδὴ ἐν τῷ ἀέρι ἐκρέματο, διὰ τοῦτο λέγει, πεδοῖ βᾶσαι, ἤτοι κατελθοῦσαι πρὸς τὴν γῆν, ἀκούσατε πάντα, ὅπερ βεβαίως μάθητε τὸ πᾶν· ὁ γὰρ ἠδύνατο προσφωνεῖν ἐκείνας εἰς ὕψος πετομένας.*

— 275. *Ἢ στικτέον εἰς τὸ μογοῦντι· τὸ δὲ ταυτὰ τῷ ἑξῆς συναπτέον· ἵν' ᾖ ἡ περὶ τὰ αὐτὰ περιερχομένη πημονὴ ἢ βλάβη ἄλλοτε πρὸς ἄλλον προσιζάνει.*

Ταυτά τοι πλανωμένη. ἄλλως· ἐκέτι ἡ ὑποκειμένη μοι θλίψις περὶ ἓν ἵσταται — ἀλλ' ἐν διαφόροις — καὶ τὰ πάντα ὑμῖν ἀφηγήσασθαι βάλομαι. — ἐκ ἐπ' ἐμοὶ μόνῳ ἐγένετο, ἀλλὰ — καὶ ἄλλον ἐπέρχεται.

— 277. *α. Οὐκ ἀκούσαις ἐπεθώϋξας τοῦτο, Προμηθεῦ. ἐκ ἀκούσαις — θέλομεν γὰρ καὶ ἡμεῖς τοῦτο.*

— 279. *α. Καὶ νῦν ἐλαφρῷ ποδί. ἡ μεταφορὰ — πρὸς αὐτὸν ἐμὲ ἐν ταχυτάτῳ ποδὶ — κινούμενον θρόνον τὸν αἰθέρα καὶ τὸν ἀγνὸν πόρον — ὁ γὰρ πᾶσα γῆ σκληρὰ καὶ τραχεῖα — τὰς σὰς δὲ πόνους βάλομαι ἀκοῦσαι.*

Κραιπνόσυτον θᾶκον δὲ τὸν αἰθέρα φησί· ἐπ' ἐκεῖνον γὰρ οἷον καθήμεναι ἐπιστηρίζονται.

— 284. *Ἥκω δολιχῆς τέρμα κελεύθου. ὁ Ὠκεανὸς ἐλθών φησι — καὶ μακρᾶς ὁδοῦ.*

— 286. *α. Τὸν πτερυγωκῆ οἰωνὸν τοῦτον. ἤγουν τὸν γρύπα τὸν ἐν τοῖς πτεροῖς ταχύτατον*

Digitized by Google

διευθύνων — αὐθαίρετον· ἐπὶ γρύπα γὰρ (γράφεται γρυπὸς) τετρασκελῆ (γρ. τετρασκελῆς) ὀχεῖται ὁ Ὠκεανός.

Εἰ τάδ'. γράφεται εἰ τῆδ'.
M' ὅτι. γράφεται μῶτι.
Μᾶλλον. γράφεται πάλαι.

Quo haec verba spectent, frustra adhuc quaesivi. An duo priora ad vers. 293 et 295? Legitur vs. 1065. loco *εἰ τάδ' εὐτυχεῖ, τῆδ'.* cf. Variet. lect. cod. 2787. et vs. 1078. *μᾶλλον.* Essent igitur hae voces loco suo motae.

vs. 288. *α. Ταῖς σαῖς δὲ τύχαις, ἴσθι, ξυναλγῶ. ταῖς σαῖς — ἡ γὰρ συγγένεια ἀναγκάζει* (sine *με*) *λυπεῖσθαι καὶ χωρὶς τῶ εἶναί μέ σε συγγενῆ* (sine *μοι*) *ἐχ εὑρεθῆναι, τίνι ἄλλῳ μείζονα παρέχω φιλίαν ἢ καὶ παρὸ σοι.*

— 293. *α. Γνώσῃ δὲ τάδ' ὡς ἔτυμ', ὀδὲ μάτην. νοήσεις* (pro *γνώσῃ*) *δέ, φησὶ, — πρέπει συμπράττειν ἐμὲ, ὁ γάρ ποτε λέξεις — φίλος ἔσται βεβαιότερος παρ' ἐμὲ, τὸν Ὠκεανόν.*

— 298. *α. Ἔα, τί χρῆμα; δυσχεραίνει ὁ Πρ. — — αὐτόκτιστα καὶ τὰ αὐτοκατασκεύαστα τὰ ἐκ πετρῶν ἐστεγασμένα — Χάλυβες ἐκεῖσέ πω πλησίον οἰκοῦσι ἔθνος ὄντες Σκυθικὸν, ὅπου ὁ σίδηρος ἐφευρίσκεται — τόνδε ἐμὲ τὸν φίλον — συνεργήσαντα τύτῳ εἰς τὸ λαβεῖν ταύτην, ποίαις βλάβαις — δαμάζομαι.*

— 307. *α. Ὁρῶ, Προμηθεῦ, καὶ παραινέσαι γέ σοι. σκόπησον — — καὶ κτῆσαι ἑτέρας*

Digitized by Google

πέως. Vox *ταθηγμένως* est. — *τάχ' ἄν — ἀκόοι· ὥστε τὴν νῦν προσοῦσάν σοι ὀργὴν αὐτῷ, παίγνιον εἶναι δοκήσεις, ἀλλὰ —* .

vs. 309. *Γίνωσκε σαυτὸν, καὶ μεθάρμοσαι τρόπως.* (In contextu est *μεθάρμοσαι*, suprascr. *μεθάρμοσον.*) *Τυχὸν ἁρμονία τίς ἐστιν ἐν τοῖς τῆς ψυχῆς ἤθεσι· μεθαρμόζει δέ τις ἑαυτὸν, ὅταν ἐκ τοῦ θυμοῦ γίνηται χαροποὺς καὶ ἐκ τῆς σκληρότητος ἱλαρὸς καὶ εὐμάλακτος, καὶ αὖ πάλιν τοῦ ἐναντίου. λέγει οὖν ὁ Ὠκεανὸς ἐνταῦθα τῷ Προμηθεῖ· ὅτι μεθάρμοσον τρόπως ἦγον μεταλλάχθητι ἐκ τοῦ σκληροῦ εἰς τὸ μαλακὸν καὶ ὑπείξον τῷ Διΐ. ἔστι δὲ ὁ Ὠκεανὸς συγγενὴς τοῦ Προμηθέως, ὡς εἴρηται λόγῳ τοιῷδε ἀλληγορικῶς· ἀλληγορεῖται γὰρ ὁ Ὠκεανὸς εἰς τὸν νοῦν ἐτυμολογούμενον ἀπὸ τοῦ ὠκέως ἦγον ταχέως νάειν* (i. q. *νέειν*) *τοὺς λογισμοὺς καὶ τὰ διανοήματα. ἡ δὲ προμήθεια καὶ ἡ πρόγνωσις ἐστὶ μέρος τοῦ λογισμοῦ καὶ δοκεῖ πως συγγενικῶς διακεῖσθαι τοῖς ἀπὸ τοῦ νοὸς ναομένοις ῥεύμασιν ἤτοι λογισμοῖς καὶ διανοήμασι.*

— 312. *Ῥίψεις τάχ' ἄν σε καὶ μακράν. Ῥίπτειν κυρίως ἐπὶ τῶν ἀφελῶν· τὸ δὲ βάλλειν ἐπὶ τῶν ἰσχυρῶν.*

— 317. *α. Ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε. ἀρχαῖα λέγονται — ἢ οἱ γέροντες καὶ οἱ ἔξωροι τοιοῦτοί εἰσι.*

— 318. *α. Τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου. γνωμικῶς φησι — θέλεις καὶ ἕτερα προσλαβεῖν — σεαυτὸν, πρὸς κέντρα τὸν πό-*

Digitized by Google

δα ἐκτείνων, ὀρ[illegible], ὅτι κυριεύει πάντων, χαλεπός — quod vulgato praestat.

vs. 313. *Θακῶν κλύοι Ζεὺς, ὥστέ σοι τὸν νῦν χόλον. ὥστέ σοι τὸν νῦν παρόντα τῶν μόχθων καὶ τῶν κακώσεων παίγνιον εἶναί σοι δόξειν· ἤτοι ὲ σωφρονοῦντι βαρύτερα κακά σοι ἐπέλθωσι παρὰ τοῦ Διὸς καὶ ταῦτά σοι τὰ κακὰ παίγνιον δόξει εἶναι.*

— 323. *α. Πρὸς κέντρα κῶλον ἐκτενεῖς. πρὸς κέντρα — λακτίζων — κατὰ τὴν ἐντεῦθεν παροιμίαν τὸς ἰδίους πόδας ἐκμάσσει* pro *αἱμάσσει.*

— 324. *Τραχὺς μόναρχος ὲδ' ὑπεύθυνος κρατεῖ. Ὑπεύθυνος ἤτοι παρ' ἄλλω τινὸς ἐξεταζόμενος, ἢ ὃν ὲ δύναταί τις τιμωρήσασθαι. καὶ νῦν μὲν ἐγὼ ἀπέρχομαι πρὸς αὐτὸν καὶ πειράσομαι, ἐὰν τέως ἰσχύσω ἀπολῦσαι τῶν δεσμῶν. σὺ δὲ μὴ μεγαλορρήμονει μηδ' ὑπέρογκα καὶ αὐθάδη λάλει· ἢ ἐκ οἴδας, φρόνιμος ὢν, ὅτι βλάπτεταί τις ἐκ γλώσσης ἀκολάστε καὶ φλυάρε.*

— 330. *α. Ζηλῶ σ', ὅθ' ἕνεκα. θαυμάζω σε, πῶς — ἄλλως· θαυμάζω σε, πῶς ὑπάρχεις — πέπονθας ἐμοὶ συναλγῶν· — μέμψεως, ὡς ὅπερ ἦν σοι δυνατὸν — Διὶ καὶ δυσωπῆσαι —.*

— 335. *α. Πολλῷ γ' ἀμείνων τὸς πέλας φρενῶν ἔφυς. εἰπόντος τοῦ Προμηθέως — — καὶ ὲκ ἀπὸ λόγε· σεαυτὸν γὰρ μὴ σωφρονήσας, ὥστε ὑπείκειν τῷ Διὶ, σωφρονίζεις ἑτέρους.* Iam sequuntur impressa: *ἐμὲ δὲ προθυμούμενον — εἰς τὸν Δία — ἐμοὶ δοῦναι αὐτόν.*

Digitized by Google

vs. 340. α. *Τὰ μέν σ' ἐπαινῶ, κ' ὐδαμῆ λήξω ποτέ. εἰς ταῦτα μέν — καὶ ὐ δὲ παυθήσομαι — καὶ μηδὲν — ποιήσεις (γράφεται πονήσεις) προγινώσκει — Δία.*

— 347. α. *Οὐ δῆτ' ἐπεί με καὶ κασιγνήτε τύχαι. Ἰαπετὸς ὁ τῶ Κρόνε — — ἀδελφῶ σε τῶ Ἄτλαντος.*

Τί ἔστιν ἄξων; διάμετρος τῶ κόσμε εὐθεῖα ἐκ τῶν πόλων ἐπεζευγμένη, μέσην μέν ἔχουσα τὴν γῆν, τὰς δὲ δύο πόλας πέρατα, καὶ περὶ ταῦτα μένουσα ἡ σφαῖρα στρέφεται. τὸν ἄξονα συμβέβηκε νοεῖσθαι εὐθεῖάν τινα καὶ ἀσώματον γραμμὴν, ἀπὸ τῶ βορείε πόλε καὶ τῶ νοτίε μέχρι καὶ διὰ μέσης πεφυκυῖαν τῆς γῆς· ἣν συμβέβηκε κέντρον εἶναι τῶ κόσμε, τῇ ἰδίᾳ φύσει· καθ' ἣν ἀμετακίνητός ἐστι καὶ ἀσάλευτον αὐτῶ μετέχει τὴν θέσιν. τὰ δὲ πέρατα τῶ ὐρανῶ, ἃ δὴ παρὰ τοῖς ἄκροις ἄξονος ἑξ ἑκατέρων τῶν μερῶν νοῦνται, πόλοι καλοῦνται.

Τί ἔστιν ὐρανός; ὁ περιέχων τὰ πάντα πλὴν αὐτῶ.

— 351. *Τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα. μυθεύεται, ὅτι οἱ Τιτᾶνες, τῶ Οὐρανῶ καὶ τῆς Γῆς παῖδες ὄντες — ἀλλ' ἴσος ἦν ὁ πόλεμος — ὁ Ζεὺς συνεργὸς — τὸν Κότον* pro *Κοῖον — καὶ πρὸς τὴν μάχην ἠρέθισε — συναράξας μετὰ μεγάλε κρότε — μετὰ δὲ ταῦτα ἡ Γῆ πρὸς εὐνὴν μιγεῖσα — ὃς πάλιν ἑτέραν μάχην — ἐν Σικελίᾳ παρὰ τὴν Αἴτνην — .*

— 353. *Ἑκατονταπάρηνον πρὸς βίαν χει-*

Digitized by Google

ρύμενον. φησὶν ἂν ὁ Ὦ— — μεγαλαύχων κομπασμάτων· εἰς αὐτὰς γὰρ φρένας τυπεὶς καὶ πλῆγεις — γράφεται δὲ καὶ παράωρον ἀντὶ —.

vs. 358. α. Ἀλλ' ἦλθεν αὐτῷ Ζηνὸς ἄγρυπνον βέλος· τὸ πῦρ τὸ ποιῶν — καὶ ἀσχολεῖσθαι περὶ τὰ ἔργα (γράφεται περὶ τὸ ἐργάζεσθαι) ἢ πρὸς τὸ θεᾶσθαι, αὐτὸ συγκαλέμενον τὰς ἀνθρώπους νυκτὸς, ποιεῖν αὐτὰς ἀγρύπνους. λέγουσι γὰρ, ὅτι ἐν τῇ Αἴτνῃ — δὲ φλόξ.

— 359. α. Καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα. Πέντε εἴδη κεραυνῶν· πρηστὴρ, ὁ καὶ πυρόεις (pro πυρσὸς) καλέμενος· ὃς καταφερομένου τοῦ πνεύματος καὶ ἐκπυρωθέντος καὶ λεπτυνθέντος γίνεται· καταιβάτης, ὁ κάτω φερόμενος καὶ καταπληκτικὸς, αἰφνίδιος, ὃς Γ' (γίνεται) παχυνθέντος τοῦ ἀέρος καὶ τοῦ πυρώδους πνεύματος· σκηπτὸς, ὃς διὰ τὴν πάνυ λεπτότητα ὑ φλέγει, μελαίνει δέ.

Ψολόεις, ὁ ἐν τῇ ψαύσει ὀλλύων.

Ἑλικίας, ὁ συστροφὰς καὶ ἕλικας ποιῶν διὰ μέσην παχύτητα καὶ ὑγρότητα τῇ πυκνότητι τοῦ ἀέρος ἀντωθούμενος.

— 366. Κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ. χαλκεύει — οὐδ' ὅλως ὑγρότητος μετέχει, ἀλλὰ μόνης ξηρότητος· ὁ ἰὸς δὲ τοῦ σιδήρου ἐξ ὑγρότητος γίνεται.

— 367. Ἥφαιστος, ἔνθεν ἐκραγήσονταί ποτε. κατὰ τὴν Σικελίαν — — καλλικάρπου Σικελίας. Τοῦτο δὲ ἀκούομεν πάλαι γενέσθαι κατὰ τοὺς Ἱέρωνος χρόνους· τότε γὰρ κατὰ τὸ μέσον ἐκρύον-

Digitized by Google

τὲς οἱ τῦ πυρὸς ποταμοὶ ἅτοι καὶ πολλὰ χωρία διέφθειραν. τοιῦτον ἂν, φησὶ, ἀναζέσει ὁ Τυφὼς χόλον ἐν βέλεσι καὶ ῥιπαῖς θερμῆς ἀπλήστυ πυρπνόυ ζάλης. ζάλην δὲ πυρίπνοον — Αἰτναίυ πυρός — .

Ἄπληστον δὲ, διότι τὸ πῦρ ὕλης δραξάμενον ἐ κορέννυται (γράφεται διὰ τὸ πῦρ — κορέννυσθαι). Ἰστέον δὲ, ὅτι φασὶν εἶναι Σικελίαν ἑτέραν μικρὰν νῆσον μεταξὺ Χαλκίδος καὶ Αὐλίδος, καὶ ταύτην εὑρεσθαι ἄκαρπον, παραβαλλομένην τῇ μεγάλῃ νήσῳ Σικελίᾳ, ἥτις ἐστὶ πολύκαρπος.

vs. 377. α. Οὔκυν, Προμηθεῦ, τῦτο γινώσκεις, ὅτι. εἰπόντος τῦ — ἕως ἔ ὁ νῆς — πρὸς αὐτὸν, ὐδὲ τῦτο γινώσκεις — ὀργὴν ἀγριαίνυσαν —.

— 379. α. Ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ. τῦτό φησιν ὁ Πρ. — τῦτο δὲ καὶ Ἱπποκράτης φησὶ· πέπονα φαρμακεύειν καὶ κινέειν μὴ ὠμά.

— 381. α. Ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν, τίνα. γράφεται καὶ προμηθεῖσθαι· ἤγυν ἐν τῷ προνοεῖσθαί μέ σε.

— 384. α. Ἔα με τήνδε τὴν νόσον νοσεῖν. ἄφες, φησὶν, — δοκεῖν μὴ εὔφρονα τοῖς πολλοῖς.

— 392. Στέλλυ, κομίζυ. πορεύυ εἰς τὸν σὸν οἶκον — νοηθὲν ἀρτίως τετέστι τὸ μὴ — Λία.

— 393. α. Ὁρμωμένῳ μοι τόνδ' ἐθώϋξας λόγον. ἄτοπον ἦν — — θέλοντι τῦτο ποιῆσαι καὶ ὁρμωμένῳ πρὸς τῦτο· ὁ γὰρ τετρασκελὴς οἰωνὸς ἤγυν ὁ γρὺψ — εἶθε δὲ ἅσμενος — ἐν τοῖς τοιύτοις (γράφεται οἰκ. . . reliqua abscissa sunt, forte οἰκείοις) τόποις σταθήσεται.

Digitized by Google

vs. 394. *Λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς.* In contextu est *ψαύει. γράφεται ψαίρει. κυρίως δὲ ἡ λέξις ἐπὶ λεφῶν (νεφῶν?) τῶν χωρὶς ἀνέμων κινουμένων λέγεται· καταχρηστικῶς δὲ ἡ λέξις αὐτῆς* (impress. *αὕτη*) *ἐνταῦθα. λέγεται δὲ καὶ ἐπὶ τῶν ῥαθύμως καὶ ἀνειμένως ἀπαγόντων. λέγουσι γὰρ οἱ ναῦται· ψαίρει τὸ ἄρμενον, ὅταν μὴ πολὺς ὁ ἄνεμος πνέῃ, ἀλλὰ προσψαύῃ, ἢ παράγωγον τὸ ψαύω.*

— 406. *Στονόεν ἦγεν στεναγμᾷ γέμον καὶ οἰκτρὸν ἦχημα.*

— 406. β. *Πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα. εἰ καὶ εἶπε πρόπασα χώρα, τὰς ἀνθρώπους ἐδήλωσεν, ἡ γὰρ ἡ χώρα θρηνεῖ· πῶς γάρ; ἄψυχος οὖσα. τοῦτο δὲ τὸ σχῆμα λέγεται πρὸς σημαινόμενον, καὶ διὰ τοῦτο εἶπε καὶ, στένουσιν οἱ ἄνθρωποι τῆς χώρας.*

— 411. α. *Ὁπόσοι τ' ἔποικον ἀγνᾶς Ἀ. ἕδος νέμονται. ὅσοι τε ἄνθρωποι — ἐπηχέσαις μέγαν στεναγμὸν* (γράφεται *μετεχέσαις μεγάλων στεναγμάτων*) *— πλησίας ἔχειν· καὶ ὅτι μετὰ πασῶν ἔχει καὶ τὴν ἐξευρεῖσαν πάντα τὰ χρηστὰ Αἰθιοπίαν — Τρωγλοδύτας — στρατὸς πολεμικὸς ὁ βρέμων καὶ ἠχῶν ἐν αἰχμαῖς ὀξείας ἄκρας ἐχούσαις, ἦγεν οἱ Κόλχοι.*

— 420. α. *Ἀραβίας τ' ἄρειον ἔθνος. πῶς τὴν Ἀραβίαν Καυκάσῳ συνῴκησε; διότι, ὡς ὁ Στράβων φησὶν, οἱ Τρωγλοδύται μεταξὺ Μαιώτιδος καὶ Κασπίας εἰσίν. Μῦθος παλαιὸς, ὡς Ἄτλας νώτοις φέρει τὸν Οὐρανὸν κάτωθεν ἐκ γῆς ἀνέχων. σὺ γὰν ἀκούων γνῶθι τοῦτ' ἀλληγόρως*

Digitized by Google

(ἀλληγορικῶς). ὄρος γὰρ Ἄτλας Λιβύης ἐν ἐσχάτοις, ἧ τὴν κορυφὴν ἐκ νεφῶν κεκρυμμένην εἶναι δακεῖσιν οὐρανῷ συνημμένην. ἐντεῦθεν ἂν Ἕλλησιν μυθεργία· Ἄτλαντα νώτοις εἰσαεὶ πόλον φέρειν.

Μόνον, φησὶ, πρὸ σεῦ ἢ πρὸ τῶν ἄλλων θεῶν τὸν Τιτᾶνα Ἄτλαντα εἶδον δαμασθέντα ἐν πόνοις, ἐν λύμαις καὶ βλάβαις ἀκαμαντοδέτοις, τουτέστιν ἰσχυραῖς καὶ μηδέποτε δαπανωμέναις, ὅστις διόλου βαστάζει ἐν τοῖς νώτοις ὑπείροχον καὶ μέγα βάρος, τὸν κραταιὸν οὐράνιόν τε κύκλον. βοᾷ δὲ καὶ στενάζει διὰ τοῦτο ἡ θάλασσα καὶ ὁ βυθὸς καὶ ὁ μέλας τόπος τοῦ ᾅδου (suprascr. τῆς γῆς) ὑποβρέμει καὶ ὑποστενάζει, ἢ μετὰ στεναγμοῦ ἦχον ἐμφέρει. αἱ πηγαί τε τῶν καθαρῶν ὑδάτων στένουσιν ἄλγος οἰκτρόν (γράφεται πικρόν).

vs. 428. Ἄτλανθ', ὃς αἰὲν ὑπείροχον σθένος.

Ἄτλας δὲ ἀλληγορικώτερον ὁ ἄξων ἐστὶ, διακρίνων τὸ ὑπὸ γῆν καὶ ὑπὲρ γῆς ἡμισφαίριον. Ἰαπετῷ δὲ ἦγεν τῆς κινήσεως τοῦ οὐρανοῦ παῖς ἦν. κατ' ἀρχὰς δὲ (γράφεται γὰρ) συγκεχυμένα τοῦ παντὸς κοσμικοῦ σώματος, συνέβη καθ' Ἕλληνας τὸν ἀέρα ἦγεν τὸν Δία σφοδροτέρας κινήσεως τετυχηκέναι καὶ ἔτω διορίσαι τὸ ἄνω καὶ κάτω ἡμισφαίριον καὶ διαρθρῶσαι τὸ πᾶν, ὥστε νοηθῆναι καὶ τὸν ἄξονα. κίονες δὲ, ὃς ὁ ἄξων ἔτος κατέχει ὁ βόρειος, πόλος ἐστὶ καὶ ὁ νότιος· οἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι καθ' Ὅμηρον.

Γέγονε δὲ καί τις ἀνὴρ Λίβυς μαθηματικώτατος, Ἄτλας τὴν κλῆσιν, ὃς ἐμυθεύθη τὸν οὐρανὸν ἔχειν.

Reliqua fere penitus sunt abscissa et forficibus vulnerata.

Digitized by Google

vs. 435. α. *Μή τι χλιδῇ δοκεῖτε μήτ' αὐθαδίᾳ. σιωπῶσι παρὰ ποιηταῖς — ποιητῇ πρὸς τὴν τῆς Θέτιδος αἴτησιν — μή τί με δοκεῖτε — ὑπερηφανίᾳ καὶ κενοδοξίᾳ ἢ αὐθαδίᾳ — ἐν συννοίᾳ δὲ κάμπτομαι τὴν ψυχήν —.*

— 440. *Ἀλλ' αὐτὰ σιγῶ. ἡ σιγὴ ἔχει πολλὰς μεθόδους, οἷον συννοούμενος καὶ αὐτὸν σιγῶ· ἢ δι' ὀργὴν βασιλέως φοβοῦμαι καὶ σιγῶ· ἢ καὶ ἄλλως· ὡς ἡ Νιόβη διὰ τὴν ὑπερβάλλουσαν λύπην ἐσιώπα· καὶ οἷον τὸ τοῦ Ἀχιλλέως, ὅταν ἐστάλησαν πρὸς ἐκεῖνον ὁ Ταλθύβιος καὶ Εὐρυβάτης, καλοῦντες εἰς μάχην, ἐσίγησαν.*

— 451. *Δόμους προσήλας ἴσαν, ἃ ξυλουργίαν. Προσέλοι οἱ Ἀρκάδες· λέγονται δὲ καὶ Προσέληνοι· ἐτρέφοντο γὰρ πρὸ συνόδου τῆς σελήνης βαλάνους ὀπτῶντες. ἢ ὅτι προσέληνοι οἱ ὑβρισταί· προσελεῖν γὰρ τὸ ὑβρίζειν. ἄλλοι δὲ αὐτοὺς ὡς μωροὺς διαβάλλουσι ὡς ἀρχαίους (an ἀρχαιοτέρους?) εἶναι τῆς ☾ (i. e. σελήνης) ἤγουν παλαιοτέρους. τὸ δὲ ἀλληγορικώτερον ὅτως ἔχει· ἀστρολογίαν γὰρ, ἐνιαυτὸν, μῆνας, ἰσημερίας καὶ τὰ τοιαῦτα Ἀρκάδων βασιλεὺς ἢ Ἄτλας Λίβυς εὗρεν, ὕστερον δὲ Θάλλης (verisimil. leg. Θαλῆς). ἄλλοι δέ φασιν, ὅτι οἱ Ἀρκάδες θύειν τοῖς θεοῖς κατέδειξαν ᾱ δρῦν· δεύτερον ἵππον λευκόν· τρίτον δρυὸς φύλλα· ὅθεν καὶ ἡ Πυθώ· πολλοὶ ἐν Ἀρκαδίᾳ βαλανήφοροι (leg. βαλανηφάγοι) ἄνδρες ἔασιν.* Conf. v. 450.

— 438. α. *Καί τοι θεοῖσι τοῖς νέοις τάδε τοις γέρα. Καί τοι τίς, φησὶ, — τοῦτο δὲ λέγει αἰ-*

Digitized by Google

νιττόμενος τὸν Δία· (γράφεται πρὸς τὸν Δία τὸν λόγον ἀποτεινόμενος) διὰ τὸ συνάρασθαι αὐτῷ κατὰ τῶν Τιτάνων — ἀλλὰ Προμηθέως ἦν τὸ κατόρθωμα — λέξω δὲ τὰς ἐν ἀνθρώποις δὲ βλάβας — εἰδέναι, μάθετε (sine *ἀλλὰ*) *— ὅσα δὲ τούτοις ἀγαθὰ δέδωκα, οἵτινες — ἦτοι μηδὲν ὄντες καὶ ἅτε τ. διὰ πλίνθων. — ὑποκάτω δὲ τῆς γῆς — — πάντα, ἕως ἔ σφιν καὶ αὐτοῖς — τὰς δυσγνώστους δύσεις· οἷον Ὡρίων, τὸ ἄστρον, ὅταν δύνῃ, χειμῶνα ποιεῖ καὶ δὴ καὶ μηχανήματα ἐξεῦρον αὐτοῖς καὶ γραμμάτων συνθέσεις ἐδίδαξα.*

vs. 449. *α. Ἔφυρον εἰκῇ πάντα, καὶ ἅτε πλινθυφεῖς. πάνυ εὐφυές — γυναικὸς, τῆς, ὅταν μέλλῃ ζυμῶσαι, μιγνυούσης ἄλευρον καὶ ὕδωρ καὶ ζυμούσης τὸν ἄρτον — μὴ ἔν γινώσκοντες ἐκεῖνοι* (omisso *γὰρ*) *τὸ πῦ συντελεῖτο* (an *συντελεῖ τὸ κ. ἕν?*) *τὸ καθ' ἕν, ἔμισγον ὁμῦ πάντα — ἔφυρον.*

— 457. *α. Ἄστρων ἔδειξα, τάς τε δυσκρίτους δύσεις. δυσκαταλήπτους — καὶ Παλαμήδης προσῆψεν — Προμηθέως ἔμαθε ταύτην — τὴν ἑῴαν ἀνατολὴν τῷ πρωῒ κατὰ τὸν Μάϊον — τότε δεῖ ἄρχεσθαι τ. ἀ. ἢ τῦ θέρους, καὶ πάλιν, ὅταν δύνωσι τὴν ἑσπερίαν δύσιν ἦτοι κατὰ τὸν Ὀκτόβριον καὶ Νοέρον* (i. e. *Νοέμβριον*) *ποιεῖσθαι χρὴ τὴν τῦ ἀρότου ἀρχὴν ἤγουν τῦ σπείρειν* (*γράφεται σπόρου*).

— 450. *α. Δόμους προσήλους. ἀντὶ τῦ θέρμην ποιοῦντας ἐν χειμῶνι, ἐν δὲ τῷ θέρει τῆς θέρμης*

Digitized by Google

καὶ τῇ ἡλίᾳ κωλυτικὴς· γράφεται καὶ η, ἵν' ᾖ κεκαρφωμένης. Ex quo intelligitur, supra legendum esse προσείλης. Conf. v. 451.

vs. 458. Σοφισμάτων. γράφεται νοσφισμάτων.

— 460. α. Μνήμην θ' ἁπάντων. ἐγὼ, φησὶ, — ζυγοῖς βόας τε καὶ ἡμιόνους καὶ ἕτερα ζῶα δουλεύοντα καὶ ἐν ζεύγλαις καὶ ἐν σώμασιν· ὅπως τοῖς ἀνθρώποις κεφισταὶ (cf. vs. 463. Impressa laborant constructione.) τῶν πόνων — τὰς ἡνίαις ὑποτασσομ. ἵππους — ὑπερπλύτου τροφῆς — ὐδεὶς ἄλλος ἐφεῦρε πλὴν ἐμοῦ. Κνώδαλα. κυρίως οἱ νεβροὶ καὶ οἱ λαγωοὶ καὶ ὅσα θηρευόμενα, ὡς ἀπὸ τῆς ἐτυμολογίας τὰ ὑπὸ κυνῶν ἁλισκόμενα. ἐνταῦθα δὲ ἐχρήσατο τῇ λέξει ἐπὶ τοῖς βυσί. λέγεται δὲ καὶ ἐπὶ τῶν θαλασσίων ζώων παρὰ τὸ κινεῖσθαι ἐν τῇ ἁλί. Καλῶς εἶπε τὴν μνήμην μητέρα τῶν μουσῶν· ἂν γὰρ ἔνι τις πολυμαθὴς καὶ ὐκ ἔχῃ τὸ μνημονευτικὸν, ὐ δύναται γράψαι εὐμαρῶς καὶ εὐκόλως.

Ὁ Ζεὺς, συμμιγεὶς τῇ Μνημοσύνῃ, ἔτεκε τὰς Μούσας τὰς μητέρας τῶν λόγων.

— 468. Τοιαῦτα μηχανήματα ἐξεύρων τάλας. προειπὼν καὶ ἀπαριθμησάμενος, ὅσα καλὰ καὶ ἀγαθὰ μηχανήματα καὶ τέχνας εἰσήγαγεν εἰς τὸ γένος τῶν ἀνθρώπων, νῦν συνελὼν τὰ πάντα φησί· τοσαῦτα ἐξεῦρον τοῖς ἀνθρώποις μηχανήματα· ἐγὼ δὲ ὐκ ἔχω μηχάνημα, δι' ὃ τῆς παρούσης βλάβης ἦγεν τῷ δεσμῷ λυθρωθήσομαι.

— 472. Πλάνα habet noster et πλανᾷ.

Digitized by Google

ve. 471. α. *Πέπονθας ἀεικὲς πῆμα, ἀποσφαλεὶς φρενῶν. ὁ χορὸς ἀκούσας — ἀνθιστάμενος αὐτῷ ἀποσφαλεὶς τῶν φρενῶν ἐν πλάνῃ ἦγεν παρατραπεὶς ἀπὸ τῆς καθεστηκότος τῶν φρενῶν καὶ μὴ εὑρίσκων ἐν φρονήσει μηχάνημα, δι' ὃ ἂν ἀπαλλαγείης· ὥσπερ δέ τις —.*

— 475. α. *Τὰ λοιπά μὲ κλύουσα, θαυμάσῃ πλέον. τὰ ἄλλα μὲ — θαυμάσεις, οἵας τε τέχνας καὶ μηχανὰς — ἀλλὰ πάντες διεφθείροντο τῇ χρείᾳ τῶν φαρμάκων· πρὶν ἂν ἐγὼ ἔδειξα αὐτοῖς κέρασμα θεραπείας τῆς πραύσης τὰς νόσους (γράφεται κεράσματα καὶ θεραπείας πραϋνέσας τὰς νόσους) —.*

— 483. α. *Ἐστοίχισα. ἐκόσμησα καὶ διεταξάμην καὶ ἔκρινα πρῶτος αὐτὸς — γενέσθαι — τὰς δυσκόλως — ἐδίδαξα καὶ ἡρμήνευσα τὴν πτῆσιν τῶν ὀρνέων τῶν ἐπικαμπεῖς ὄνυχας ἐχόντων — τὴν δεξιάν τε καὶ τὴν ἀριστερὰν πτῆσιν τῶν ὀρνέων — — ἰστέον δέ, ὅτι πολλὰ καὶ διάφορα πλήθη μαντείων — τὰ μέλλοντα γενέσθαι καὶ ἀπὸ τῆς ἀνατομῆς τῶν ζώων τὰ ὅμοια ἐννοεῖν — ἐμβληθείσης τῷ πυρὶ (γράφεται, ὁμοίως δὲ καὶ ἀπὸ τῆς χολῆς, ἥτις ἐκβληθεῖσα καὶ ἀνατιναγεῖσα).* Supra *ἐνταῦθα δὲ περὶ τούτων μόνον διαλαμβάνει.*

Ἢ ἀγαθοὶ κατὰ τὴν φύσιν ἢ τὴν δεξιὰν καὶ ἀριστερὰν πτῆσιν, δι' ἧς ἂν τεκμήραιντο τὰ καθ' ὁδὸν συναντήματα.

Ἡ μαντικὴ διαιρεῖται εἰς ὀνειροκριτικὸν, εἰς

Digitized by Google

οἰωνοσκοπητικὸν, εἰς ἠπατητικὸν καὶ εἰς θυτικόν.

vs. 482. Ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων. ἐπεὶ αἱ νόσοι σπεύδουσιν ὀλέσαι· τὰ δὲ ἤπια φάρμακα ἐξαμείβονται τὰς νόσους ἦγον ὀλλῦσιν· ἃ γὰρ αἱ νόσοι ἀπειλῶσι, ταῦτα τὰ φάρμακα εἰς αὐτὰς μεταμείβονται. τὸ δὲ ἤπιον γίνεται ἀπὸ τοῦ ἥδω, τὸ εὐφραίνομαι, ἢ ἀπὸ τοῦ ἀπὸ ἰοῦ εἶναι.

— 486. Ὑπαρ γενέσθαι, κληδόνας.

Κληδὼν λέγεται ἡ μαντεία ἀπὸ τοῦ τινὰς μὲν κλείειν, τινὰς δὲ δοκεῖν.

— 495. Κνίσσῃ τε κῶλα συγκαλυπτά. τὰ τῶν μηρῶν ὀστᾶ — .

Κῶλον τὸ λεγόμενον ἱερὸν ὀστοῦν· ὃ καὶ κλῶν (impress. κλόνις. recte.) ὀνομάζεται διὰ τὸ ἀεικίνητον. — γαστέρα δηλαδὴ τὴν κοιλίαν, ἤτοι τὴν θυτικὴν (γράφεται θυματικὴν) — διὰ τὸ ἀκίνητον — βλέπεσθαι ἐποίησα καὶ πᾶσιν ὑπέδειξα (γράφεται nescio quid, deletum enim; forte impressa).

— 498. α. Ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα. τυφλὰ, ἐκ τοῦ — νόσος καὶ γίνεται περὶ τὸν ὀφθαλμὸν, ὅπερ ἀβλεψίαν ποιεῖ — .

— 499. Τοιαῦτα μὲν δὴ ταῦτα. ταῦτα μέν, φησὶν — — ὠφελήματα — θέλῃ φλυαρῆσαι· ἐν ὀλίγῳ δὲ λόγῳ συλλήβδην μάθε, ὅτι πάσας τέχνας ἐγὼ ἐξεῦρον, suprascr. ἐφεῦρον.

— 503. Οὐδείς, σάφ' οἶδα, μὴ μάτην φλῦσαι θέλων.

Digitized by Google

Φλῦσαι. *κατὰ παράχρησιν τὸ φλῦσαι· κυρίως δὲ φλύω ἐπὶ σιδήρου παφλάζοντος ἢ καὶ ἄλλως· ποιὰ λέξις τῶν λοπαδίων τὸ φλυ, φλυ, ὅταν βράζωσιν.*

vs. 506. *α. Μὴ νῦν βροτοὺς μὲν ὠφέλει καιρὸς πέρα. μὴ νῦν, φησί, — μακρὰν τοῦ προσήκοντος — εὐελπίς εἰμι τῶνδε, ἀντὶ τοῦ ἀπὸ τούτων ὧν λέγεις —.*

— 510. *α. Οὐ ταῦτα ταύτῃ. ὁ ταῦτα ταύτῃ ὅτως ἔχουσιν· ἡ μοῖρα δὲ τελεσφόρος καὶ πληρωτικὴ τούτων, ἡ ταχέως τὰ κατ' ἐμὲ κρανεῖ καὶ πληρώσει· ὃ ἐστιν, ὅπως με λυθῆναι μεμοίραται· πολλαῖς δὲ βλάβαις καὶ κακοπαθείαις δαμασθεὶς ὅτως ἀπολυθήσομαι· ἡ ἐμὴ δὲ σοφία κατὰ πολὺ ἀσθενεστέρα τῆς εἱμαρμένης.*

— 514. *Τίς ἂν ἀνάγκης ἐστὶν οἰακοστρόφος.*

Ἀνάγκην φησὶν ἢ τὴν μοῖραν ἢ ἀνάγκην νοεῖ τινα θεὸν, ἢ τις ἀσθενέστερος τῶν Μοιρῶν καὶ Ἐριννύων, αἳ δευτεύουσι τῆς ἀνάγκης.

Εἰπόντος τοῦ Προμηθέως, ὅτι ἡ ἐμὴ σοφία τῆς εἱμαρμένης ἥττηται, φησὶν ὁ χορός· τίς ἂν ἐστιν οἰακοστρόφος καὶ κυβερνήτης τῆς Ἀνάγκης; ἤτοι τίς ἐστιν ὁ τῆς εἱμαρμένης ἐξεσιάστης; τοῦτο φησὶν ὁ χορός. καὶ λέγει ὁ Προμηθεύς, ὅτι αἱ τρεῖς Μοῖραι, ἥ Κλωθὼ ἢ (ἡ) Ἄτροπος καὶ ἡ Λάχεσις, καὶ αἱ τρεῖς Ἐριννύες, ἥ τε Τισιφόνη, ἡ Μέγαρα καὶ ἡ Ἀλεκτώ. καὶ πάλιν ὁ χορός φησι πρὸς αὐτόν· ἆρα ὁ Ζεὺς ἀσθενέστερός ἐστι τῶν Μοιρῶν καὶ δύναταί σε λῦσαι κρατούμενον; ὡς φῂς, ἀπὸ

Digitized by Google

τῆς Ἀνάγκης, οἷον εἰ θελήσει ὁ Ζεὺς πρὸ τῆς Μοίρας λῦσαί σε; ἃ δύναται τᾶτο ποιῆσαι, φησὶ ὁ Προμηθεὺς, ὁ Ζεύς· ἔχων ἂν ἀδ' αὐτὸς ἐκφύγῃ τὴν πεπρωμένην.

vs. 518. α. Τί γὰρ πέπρωται Ζηνὶ, πλὴν ἀεὶ κρατεῖν; τί ἔν ὑπόκειται — κρατήσειεν ἄν — προαναφωνεῖ δὲ λελῃθότως τὸν τῆς Θέτιδος ἔρωτα.

Ἐριννὺς ἀπὸ τᾶ ἔρι, τᾶ σημαίνοντος τὸ ἄγαν, καὶ τᾶ νύσσω, τὸ τιμωρῶ· ἢ ἀπὸ τᾶ ἐν τῇ ἐρανάι. (Nodum reliquarum literarum, quae paucae sunt, non potui solvere.)

— 520. Ἤπα τί σεμνόν ἐστιν, ὃ ξυναμπέχεις. ὄντως σεβάσμιόν ἐστι καὶ μυστηριῶδες, ὃ κρύπτεις ἐν ἑαυτῷ.

— 525. α. Μηδάμ' ὁ πάντα νέμων. ὁ πάντα κρατῶν — μηδαμῶς ποτε ἀντίπαλον κράτος καὶ οἱονεὶ — μοι γένοιτο — καὶ θυσίας τάτοις προσάγειν, παρὰ τὸν τᾶ Ὠκεανᾶ πόρον — — τὸ γὰρ τήκεσθαι κυρίως ἐπὶ τᾶ κηρᾶ καὶ τῆς χιόνος λέγεται (ubi κυρίως abest). Μηδαμῶς σχοίην ἀντίπαλον τὸν Δία, μηδὲ παυσαίμην θυσίας καὶ ἑορτὰς τοῖς θεοῖς ἄγειν.

— 536. Ἡδύ τι θαρσαλέαις τόν. τᾶτο πρὸς τὸν κεκρυμμένον λόγον τᾶ Προμηθέως, εἰς ὃν ἐκκρεμῆ τὴν ἐλπίδα ἔχει, φαίνεται λεχθῆναι. εἴρηκε γὰρ ἄνω· τόνδε γὰρ σώζων ἐγὼ, δεσμὰς ἀεικεῖς καὶ βίας ἐκφυγγάνω.

Post εὐφραντὸν deest vox τό.

Digitized by Google

vs. 541. *α. Φρίσσω δέ σε δερκομένη. δειλῶ καὶ τρέμω, — τὸν Δία μὴ φοβέμενος.*

— 553. *α. Οὔποτε τὰν Διὸς ἁρμονίαν. ὑψηλῶς καὶ — φησὶ γὰρ ὅτι — ἔμαθον τάδε, ὦ Προμηθεῦ, τὰς σὰς ὀλεθρίας τύχας θεασαμένη.*

— 557. *α. Τὸ διαμφίδιον δέ μοι μέλος. τοῦτό φησιν, ὅτι — καὶ ἐκεῖνο, ὅπερ ἐτραγῴδων περὶ τὸν καιρὸν — τόδε καὶ τοῦτο, ὃ νῦν ἐτραγῴδων ἐπὶ τῷ σῷ πάθει — τετέστιν ἐν συνόδῳ καὶ συνελεύσει — διδόμενα πράγματα· ἢ ὅτε τὴν ὁμοπάτριον ἐμοὶ Ἡσιόνην ἤγαγες, πιθὼν τὴν ἑαυτῆς μητέρα, ἔδνοις ἢ προικίοις ἔχειν ἐκείνην ὁμόλεκτρον. Ἡσιόνη δὲ θυγάτηρ ἦν Ὠκεανῦ καὶ Τηθύος.*

— 561. *Ἔδνοις. ἀπὸ τοῦ δεῖν τὴν εὐνὴν ἢ τὸ ἴδιον ἐκ νέου ἐν προικί.* (Verba impressa: *ἔδνα ἀπὸ τοῦ ἐδνεῖν τὴν εὐνὴν, ἢ τὸ ἴδιον ἐκνέον τὸν αἰγιαλόν*, mirum in modum sunt corrupta.)

— 563. *α. Τίς γῆ, τί γένος. τὸ τῆς Ἰοῦς πρόσωπον μονῳδεῖ μέν, ἔχει δὲ κείμενον σαφῶς, ὅτι μαντεύεται — ἄλλως τε καὶ, ὅτι αὐτὴ ὑπὸ — ἠδικῆσθαι, διὰ τοῦτο* (sine *καὶ*) *παραμυθεῖται τὸν Προμηθέα. τρισκαιδέκατον δὲ ἀπ' αὐτῆς τὸν Ἡρακλέα λέγει ὁ Προμηθεύς. ὅστος γὰρ ἔλυσεν — δεσμῶν. Ἡ δὲ Ἰώ, ἡ τοῦ Ἰνάχου θυγάτηρ, ἡ καὶ Ἰνὼ λεγομένη, ἐρασθεῖσα — καὶ δέδωκεν Ἄργῳ τῷ — κατὰ διαφόρους τόπους — τὸ τελευταῖον ἀπῆλθεν καὶ πρὸς — τὸν Προμηθέα. Ἡ Ἰὼ κατὰ χόλον τῆς Ἥρας μεταβληθεῖσα εἰς βοῦν καὶ οἰστρηλατουμένη, ἐλθοῦσα καὶ εἰς ἑτέρους*

Digitized by Google

διαφόρους τόπους, κατήντησε καὶ ἔνθα ἦν ὁ Προμηθεὺς δεδεμένος πρὸς τοῖς Εὐρωπαίοις μέρεσι τῶ Καυκάσω· καὶ ὁρᾷ αὐτὸν ἐκεῖσε προσηλωμένον ἐν ταῖς πέτραις τῶ ὄρους, καὶ φησὶ θαυμάζουσα· τίς ἐστιν ἡ γῆ αὕτη; ποία γενεά; τίνα εἶπω βλέπειν τῶτον τὸν κακοπαθῶντα ἐν δεσμοῖς πετρίνοις ὀρείοις; εἶτα πρὸς τὸν Προμηθέα λέγει· ὑπὲρ ποινῆς ποίας ἁμαρτίας φθείρῃ; εἰπέ μοι, πῶ πεπλάνημαι καὶ ἐν ποίᾳ γῇ εἰμι; ὅταν γὰρ συνεζεύχθης τῇ Ἡσιόνῃ, εἴχομεν χαράν· τανῦν δὲ ὁρῶσαί σε ὧτως (ὧτω) πικρῶς προσαυαινόμενον λυπέμεθα.

ve. 568. Ἆ ἆ, ἔα ἔα. τὸ ἆ κλητικὸν ἐπίρρημά ἐστιν ἢ μᾶλλον προσφωνηματικόν· διαφέρει δὲ τῆς διὰ τῶ ὦ προφωνήσεως, ὅτι τῶτο μὲν ψυχῆς ἀπαθῶς· τὸ δὲ ἆ ταραχῶδες δηλοῖ ψυχικόν· οἷον ἢ σχετλιασμὸν ἢ ὄνειδος ἢ ἀγανάκτησιν.

ἆ δᾶ. γράφεται ὦ δᾶ.

— 571. α. Φοβοῦμαι τὸν μυριωπὸν εἰσορῶσα βύταν. πολυόφθαλμον — — μεταμειφθείσης εἰς βῶν.

— 573. α. Ὃν οὐδὲ θανόντα ἡ γῆ κατέχει ἀλλὰ ἐκ τῶν νεκρῶν — — νῆστιν. τὸ γὰρ φάσμα τῶ Ἄργῳ καὶ μετὰ τὸ ἀναιρεθῆναι παρὰ τῶ Ἑρμῶ αὐτὸν διὰ λίθῳ, παρεδείκνυεν ἡ Ἥρα τῇ Ἰοῖ ἐπὶ τῷ μάλιστα ἐκφοβεῖν αὐτόν.

— 577. Ἀχέτας ὑπνοδόταν νόμον. ἑσπέρα, φησὶ, ἐστὶν ἤδη καὶ ἡ σύριγξ ἠχεῖ — ὃς πρὸς ἑσπέραν ἐστὶν αὐλούμενος τοῖς ποιμέσι — εἰσαγωγὴν καὶ πρὸς τὴν μάνδραν αὐτῶν εἰσέ-

Digitized by Google

λευσιν. Ἑσπέρα ἔν ἐστι, κἀγὼ νῆστις ἔσα ἐλαύνομαι· τοῦτο γὰρ δηλοῖ τὸ ὑπνοδόταν νόμον, ἀντὶ τοῦ κατὰ τὸν καιρὸν τοῦ ὕπνου, τουτέστι τὴν νύκτα. Ἴσως ὑπνοποιόντι (f. ὑπνοποιῶν τι) μέλος πρὸς ἑσπέραν αὐλούμενον, ἢ τὸν ἐν τῷ καιρῷ τῆς ἑσπέρας διδόμενον ὕπνον τοῖς βουσί.

vs. 581. Ἔ ἔ. ἐπιφώνημα· πλεονασμός.

Εἶμι, πορεύομαι, εἷς, εἶσιν· ἴτον· τὸ πληθυντικὸν ἴμεν, ἴτε, ἴσι. καὶ ἰωνικῶς ὤφειλε γράφεσθαι ἔασιν· ἀλλ' ἵνα μὴ συνεμπέσῃ τὸ ἔασι καὶ ὑπάρχουσι, μερίζεται τὸ εἴασι, καὶ λαμβάνει τὸ μὲν ἓν τὸ ε καὶ γίνεται ἔασι καὶ ὑπάρχουσι, τὸ δὲ ἕτερον τὸ ι καὶ γίνεται ἴασι καὶ πορεύονται. σημείωσαι τοῦτο, ὅτι ἀπὸ τοῦ ἴμεν πληθυντικοῦ γέγραπται τῷ Ἀπολλωνίῳ· ἴω τὸ πορεύομαι ι· καὶ τοῦτο ἐψεύσατο. Ἡροδότῳ γὰρ γέγραπται δίφθογγον (δφον). τὸ δὲ ἀφιᾶσι καὶ ἀπὸ τοῦ ἀφίημι καὶ καθίημι. τὸ δεύτερον ἀφίης. τὸ τρίτον τῶν πληθυντικῶν ἀφεῖσι καὶ τὸ ἰωνικὸν ἀφιέασιν.

— 590. Κλύεις πρόσφθεγμα τᾶς βουκέρω παρθένου. παρθένον λέγει ταύτην, οὐχ ὡς οὖσαν παρθένον· ὁ Ζεὺς γὰρ ἔφθειρεν αὐτήν· ἀλλ' ὡς ἔθος ἐστὶ τοῖς τραγικοῖς τὰς μοιχευθείσας βιαίως καὶ μὴ κατὰ τὴν ἰδίαν προαίρεσιν καλεῖν καὶ ταύτας παρθένους.

— 592. α. Τῆς Ἰναχείας. διὰ τοῦτο ὁ Προμηθεὺς τὸ ὄνομα τοῦ πατρὸς τῆς τοῦ Ἰνάχου ἐνέφηνεν, Ἰναχείαν κόραν καλεῖσθαι αὐτήν, ἵνα δείξῃ εὐθύς, ὅτι μάντις ἐστίν, ὡς παρ' Ὁμήρῳ ὁ Τειρεσίας, νόστον δείξαι γράφεται δίζησαι — Ἀχιλλεῦ.

Digitized by Google

vs. 593. *Ἔρως. μέθη, ζῆλός τε καὶ δαίμων ἴσα.*

— 594. *Στυγητὸς διὰ τὸν ζῆλον. τὸ δὲ ἰδίωμα ἀττικόν· εἰώθασι γὰρ ἐκεῖνοι τὰ εἰς η̄ λήγοντα θηλυκὰ διὰ τοῦ ος ἐκφέρειν, ὡς τὸ κλυτὸς Ἱπποδάμεια.*

— 596. *α. Εἰπέ μοι τᾷ μογερᾷ. εἰπέ μοι — τίς ὢν σὺ ἔτως — λέγω δὴ τὸν τῆς ἀπαντα χοῦ πλανᾶσθαι — ἐμὲ μὴ ἵστασθαι, ἀλλὰ πλανᾶσθαι.*

— 601. *Σκιρτημάτων δὲ νήστισιν αἰκίαις. ἐν μάστιξι — — — καὶ τοῦ στάσις ἤγαν ἵστημι, στήσω.* (Legit ergo *νήστησιν*, ut cod. 2782.)

— 604. *α. Δυσδαιμόνων. ἀπὸ τῶν δυσδαιμόνων εἰσὶν, οἵτινες τοιαῦτα μογοῦσιν, οἷα ἐγώ.*

— 611. *Οὐκ ἐμπλέκων αἰνίγματα. οἱ γὰρ παλαιοὶ τὰ ποιήματα αὐτῶν πρῶτον ἐν προοιμίοις καὶ αἰνίγμασιν ἔγραφον· ὕστερον δὲ καὶ καθόλου φανερῶ (φανερῶς?) ἐχρῶντο τῷ λόγῳ.*

— 610. *Λέξω τορῶς σοι πᾶν, ὅ, τι χρῄζεις μαθεῖν. φανερῶς καὶ διαδήλως εἶπω σοι, — ὥστε τύτους δοκεῖν ἀληθεῖς· ἀλλ' ἁπλῶ — λαλεῖν.*

— 617. *Οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοί. ἔκουν παράσχοις ἐμοὶ, φησὶ, τήνδε τὴν δωρεὰν, ἀναδιδάξαι με, τίς ὁ δεσμεύσας σε — — κρύπτομεν ἀνιαρὰ Ποσειδῶνος ἄνακτος δῶρα.*

— 616. *Ἁρμοῖ πέπαυμαι τὰς ἐμὰς θρηνῶν πόνους. νεωστὶ, ἀπὸ μεταφορᾶς — ἁρμοζόντων τῷ νέῳ — ἅμα γὰρ εἶπον καὶ ἅμα παρῆλθεν.*

Digitized by Google

(quo Huetii correctio firmatur. V. infra.) ἔστι δὲ τὸ ἁρμοῖ τοπικὸν κυρίως· ἐνταῦθα δὲ χρονικὸν, καὶ γὰρ πρὸ ὀλίγου τὰ αὐτὰ κακὰ ἔλεγε πρὸς τὰς νύμφας.

vs. 620. Βέλευμα μὲν τὸ δῖον, Ἡφαίστου δὲ χείρ. πρὸς τὴν — φησὶν ὁ Προμηθεὺς, ὅτι τὸ δῖον βέλευμα, τουτέστιν ἡ βουλὴ τοῦ Διός.

— 625. α. Τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε. εἶτα φησὶν ὁ Προμηθεὺς — παρὰ μαθεῖν — μηδαμῶς ἀποκρύψῃς ὅπερ μέλλω παθεῖν. Ἄλλως. Ἐπικύριόν (ἐπικύρειόν) ἐστι τοῦτο τὸ δόγμα, ἀναιρῶν τὴν μαντικήν· εἱμαρμένης γὰρ, φησὶ, πάντων κρατούσης, πρὸ καιροῦ λελύπηκας εἰπὼν τὴν συμφορὰν, ἢ (impr. τὸ) χρηστὸν τὴν ἡδονὴν ἐξέλυσας. λέγουσι δὲ καὶ τὸ (vulg. ὅτι) Ἃ δεῖ γενέσθαι, ταῦτα καὶ γενήσεται.

— 627. Ἀλλ' ἐ μεγαίρω τοῦδέ σοι δωρήματος. ἀλλ' ἐ φθονῶ σε, φησὶ, τούτου τοῦ δωρήματος· δηλονότι τοῦ μαθεῖν σε ἀπ' ἐμοῦ τὰς σὰς συμφορὰς καὶ ἃ μέλλεις παθεῖν. Τοῦτο δὲ εἰπόντος τοῦ Προμηθέως, φησὶν ἡ Ἰὼ πρὸς αὐτόν· διατί νῦν βραδύνεις καὶ ἀργεῖς, μὴ γεγωνίσκειν καὶ βοᾷν καὶ λέγειν ἐμοὶ ἅπαν, ὃ μέλλω παθεῖν. Εἶτα πάλιν πρὸς αὐτὴν ἀποκριθεὶς ὁ Προμηθεύς φησιν· οὐχὶ διὰ φθόνον τοῦτο ποιῶ, τὸ μὴ ἀναδιδάξαι σε πάντα, ἃ μέλλεις παθεῖν· ἄλλό τι (γράφεται ἀλλὰ διότι) δειλιῶ παράξαι τὸν σὸν λογισμόν· ἡ γὰρ διήγησις ταραγμὸν ἐμποιήσει σοι. Πρὸς τοῦτο δὲ ἀντιλέγει ἡ Ἰὼ, μὴ παρὸ δεῖ καὶ πλέον, ἢ ἐμαυτὴν ἐλεῶ, φρόντιζέ μου· ὅτι ἐμοὶ λίαν εὐφραντὸν τὸ

Digitized by Google

ἀκύειν τὰς ἐμὰς συμφοράς. τοῦτο δὲ ἔξωθεν λαμβάνεται.

vs. 629. *Θράξαι ἦγεν ταράξαι τροπῇ τοῦ τ εἰς θ καὶ ἐκβολῇ τοῦ α.*

— 630. *Μή με προκήδου μᾶσσον. μᾶσσον τὸ μακρότερον. τὸ μὴ ἧσσον.*

— 632. *Μήπω γε· μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε. ὁ χορὸς λέγει — τοῦ ἀκοῦσαι τῶν ταύτης παθημάτων — τὰ ἐπίλοιπα δὲ τῶν ἄθλων καὶ τῶν πόνων καὶ τῶν κακοπαθειῶν αὐτῆς, ὧν μέλλει ἔτι παθεῖν —.*

— 636. *Σὸν ἔργον, Ἰοῖ, ταῖσδ' ὑπεργῆσαι χάριν. τοῦτο ἅμα σαφηνίζων τῷ ἀκροατῇ, τὰ πράγματα διὰ τῶν τῆς Ἰοῦς Προμηθεὺς παραμυθέμενος· ὅπερ ἐν τῷ μεταξὺ τά τε τῆς Ἰοῦς ῥηθείη· εἶτα πάλιν τὰ παρ' αὐτοῦ.*

— 637. *Καὶ κασιγνήταις πατρός. Ὠκεανοῦ καὶ Τηθύος υἱὸς μὲν Ἴναχος· θυγατέρες δὲ αἱ Ὠκεανίδες νύμφαι λεγόμεναι. τοῦ δὲ Ἰνάχου θυγάτηρ Ἰώ. διὰ τοῦτο ἔν τὰς Ὠκεανίδας ἀδελφὰς τοῦ Ἰνάχου φασίν. Ἴναχος ἦν βασιλεὺς, ἔχων θυγατέρα Ἰώ, ἀκόλαστον ὅσαν καὶ πρὸς συνουσίαν ἀῤῥένων ἐπιῤῥεπῆ. βλέπων ἔν αὐτὴν ὁ πατὴρ αἰσχρὰ πράττουσαν, ἀπεδίωξε τῆς πατρίδος· ἡ δὲ πάσας χώρας διήρχετο μαινομένη καὶ οἷον ὑπὸ οἴστρου κεντουμένη ὑπὸ τῆς ἀκολασίας καὶ ἀσελγείας.*

— 638. *α. Ὡς ἀποκλαῦσαι κἀποδύρεσθαι τύχας. τοῦτο τοιοῦτόν ἐστιν — πᾶς, ὅστις μέλλει — — ἔχει ἐκεῖ.* (suprascr. *ἐνταῦθα καὶ —.*)

Digitized by Google

vs. 641. α. *Οὐκ οἶδ', ὅπως ὑμῖν ἀπιστῆσαί με χρή. ἡ Ἰὼ φησι πρὸς τὸν χορὸν, ὅτι οὐκ οἶδα — θελήσαις μαθεῖν τὰ περὶ ἐμοῦ — — τὴν Πυθίαν ἀποστολὴν — καὶ τὴν εἰς βοῦν μεταβολὴν λέγουσα, ὅτι ἀεὶ ὄψεις νυκτεριναὶ ἤτοι ὄνειροι — ὦ μεγάλως εὐτυχεστάτη — τὴν πηγὴν τὴν Λέρνην.*

— 656. *Τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασι. τοιούτοις ὀνείροις — ὁ πατήρ με εἰς τὴν — μαντείας ποικίλας καὶ — καὶ τῶν τῆς πατρίδος χώρων — καὶ ἐὰν ἀ θέλῃ, εἰς αὐτὸν τὸν πυρίνην ὄψιν ἔχοντα κεραυνὸν τοῦ Διὸς, ὃς πᾶν —* omisso *ἐπελθεῖν.*

— 670. α. *Τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν. τοιαύταις — μήτε ἐμὲ θέλουσαν — ὁ τοῦ Διὸς χαλινός. τὸ βούλευμα τοῦ Διὸς καὶ ἡ βία· ἦγεν αὐτὸς ὁ Ζεὺς κατὰ περίφρασιν. Τηνικαῦτα δὲ μετάμειψις — .*

— 675. α. *Ἦσαν, κεράστις δ', ὡς ὁρᾶτ', ὀξυστόμφ. ἤτοι κέρατα — ὀξυστόμῳ τῷ ὀξέως δάκνοντι — ὥρμων* omissum — *ἧσσον καὶ ἐκινήμην —.*

— 676. *Μύωπι χρισθεῖσ', ἐμμανεῖ σκιρτήματι. πάνυ ἐπιτηδείως ὁ Αἰσχύλος ἐχρήσατο τῷ λόγῳ τοῦ κέντρου διὰ τὸ περισπᾶν τὴν Ἰὼ βοόμορφον· εἰώθασι γὰρ οἱ βόες κέντροις πρὸς ἐργασίαν νύττεσθαι.*

Βακόλος δὲ ἀπηνὴς καὶ ἀνήμερος. λέγει δὲ τὸν Ἄργον, τὸν πανόπτην, ὃν βακόλον καλεῖ, διὰ τὸ ἐπιστατεῖν αὐτῆς μεταβληθείσης εἰς βοῦν. ὡμάρτει

Digitized by Google

καὶ συνηκολούθει μοι ἐν πυκνοῖς ὀφθαλμοῖς, πολυόφθαλμος γὰρ ἦν, ὡς προείρηται· δεδορκὼς καὶ ἐπιτηρῶν καὶ βλέπων τὰς ἐμὰς ὁδούς. ἀνέλπιστος δὲ θάνατος αὐτὸν τῆς ζωῆς ἀπεστέρησεν· ὁ γὰρ Ἑρμῆς, πεμφθεὶς ὑπὸ τοῦ Διὸς ἐπὶ τῷ ἀναλαβέσθαι τὴν Ἰὼ ἐξ αὐτοῦ, ἀνεῖλεν αὐτὸν διὰ λιθείας βολῆς (lectio altera abscissa est, forte *ἀνῄρηκεν*).

vs. 679. *Ἄκρατος ὀργὴν Ἄργος ὠμάρτει.*

Ἄκρατον δὲ λέγει αὐτὸν κατὰ τὴν ὀργὴν καὶ λίαν ὀργίλον ὄντα καὶ μηδὲν ἡμερότητος ἐν ἑαυτῷ περιφέροντα. ἐγὼ δὲ, ὑπὸ τοῦ οἴστρου πεπληγμένη, γῆς πρὸς γῆν ἐλαύνομαι, ἀντὶ τοῦ, ἀφ' ἑτέρας γῆς εἰς ἑτέραν πορεύομαι καὶ ἐλαύνομαι πλανωμένη.

— 682. *Οἰστροπλὴξ, ὁ πλήσσων οἶστρος· οἰστρόπληξ δὲ ὁ ὑπὸ τοῦ οἴστρου πλησσόμενος. καὶ βουπλὴξ, ὁ τὸν βοῦν πλήσσων· βόπληξ δὲ ὁ πλησσόμενος ὑπὸ τοῦ βοός. γράφεται ὑπὸ τοῦ βοὸς πλησσόμενος.*

— 684. *α. Κλύεις τὰ πραχθέντα. καταλέξασα καὶ προειποῦσα, ἃ πέπονθα· ἤγουν τὰ ἐμὰ παθήματα. εἰ δὲ καὶ ἄλλό τι — παρηγόρει λόγοις ψευδέσιν· ὡς τὸ μηδέ τι με αἰδούμενος μειλίσσεο, ἀλλ' εὖ μοι κατάλεξον. νόσημα γὰρ κάκιστον, φησὶ, τοὺς ψευδεῖς λόγους καὶ μὴ τὴν ἀλήθειαν ἐμφανῶς λέγοντας.*

— 689. (693. Edit. Schuetz. pr.) *Ηὐχόμην. ὁ χορὸς ἀκούσας τῶν τῆς Ἰοῦς πληπαθημάτων, φησὶ, φεῦ· εὐδέποτε ἔλεγον ἢ προσεδόκων ἢ ἐκαυχώμην εἰς τὴν ἐμὴν ἀκοὴν ἐλθεῖν λόγους παραδόξους· εὖ ὅπως φ-*

Digitized by Google

ὁμην, τὰ δυσθέατα καὶ κάκιστα καὶ δύσοιστα καὶ ἃ δυσκόλως τις ὑπομείνῃ πήματα, ἤτοι βλάβας, ἐν ἀμφήκει κέντρῳ καὶ ἀμφοτέρωθεν τέμνοντι ψύχειν ἤγων νεκρῶν τὴν ἐμὴν ψυχήν.

ve. 691. (697.) *Λύματα, ἢ ὀλέθρια, παρὰ τὸ λυμαίνω, ἢ καθάρσεως δεόμενα, ὡς ἀποτρόπαια. διὸ καὶ ἅπεχε εἶπεν. εἰσὶ μέν ὃν πήματα τῇ Ἰοῖ. λύματα δὲ τῷ ἀκούοντι χορῷ δεομένῳ καθάρσεως.*

— 695. *α. Πρό γε στενάζεις, καὶ φόβῳ πλέα τὶς εἶ. ἤτοι πρινὴ μάθοις καὶ τὰ λοιπὰ δυσφορεῖς καὶ θαυμάζεις ταῦτα καὶ περίφοβος εἶ, καρτέρησον, ἕως ἃ καὶ τὰ λοιπὰ μάθοις.*

— 699. *α. Τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα. ὑμεῖς μέν ὄν, ἃ χρῄζετε, ἐτύχετε — πέπονθε πλὴν — καὶ ὁ παρ' ἄλλου τινός.*

